Ms. Graec. Quart. 45 10 acc. 9326 1

# Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου

Ὁ θεὸς ὁ θεὸς ἡμῶν· ὁ τὸν οὐράνιον ἄρ-
τον· τὴν τροφὴν τοῦ παντὸς τοῦ
κόσμου· τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν

δόξαν ὀφείλας ὥραι καὶ λυτρωτὴν καὶ
εὐεργέτην· εὐλογοῦντας καὶ δοξάζον
τας ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρό
θεσιν ταύτην· καὶ πρόσδεξαι αὐτὴν
εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον·
μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος·
τῶν προσενεγκάντων καὶ δι' οὓς προ
σήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους δι
αφύλαξον· ἐν τῇ ἱερουργίᾳ τῶν θεί
ων σου μυστηρίων: — ἐκφω(νως)

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ παν:

Ἐπ δες· ὁ ἱερ(εύς)· Εὐλογημένη ἡ β(ασιλεία)

Ἐν εἰρήνῃ τοῦ κυ δε(ηθῶμεν): Ὑ(πὲρ) τῆς ἄνωθεν εἰρ(ήνης)·
Ὑ(πὲρ) τῆς εἰρήνης τοῦ: Ὑ(πὲρ) τοῦ ἁγ(ίου) οἴκου τοῦ:
Ὑ(πὲρ) τοῦ ἐπισκ(όπου) ἡμῶν: Ὑ(πὲρ) τῶν εὐσεβεστάτ(ων):-
Ὑ(πὲρ) τοῦ συμπολεμῆσαι: Ὑ(πὲρ) τῆς πόλεως ἡμ(ῶν):
Ὑ(πὲρ) περ εὐκρασίας ἀέρ(ων): Ὑ(πὲρ) πλεόντων ὁδοιπ(ορούντων):
Ὑ(πὲρ) τοῦ ῥυσθῆναι ἡμᾶς:: εὐ(χὴ) ἀντιφώνου α·

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· οὗ τὸ κράτος ἀνεί
καστον· καὶ ἡ δόξα ἀκατάληπτος·
οὗ τὸ ἔλεος ἀμέτρητον· καὶ ἡ φιλανθ

φροντίδα ἄφραστος· αὐτὸς δέσποτα κα

τὰ τὴν εὐσπλαγχνίαν σου· ἐπίβλεψον

ἐφ᾽ ἡμᾶς· καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦ

τον· καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν

συνευχομένων ἡμῖν πλούσια τὰ ἐ

λέη σου καὶ τοὺς οἰκτιρμούς σου:—

ἀντιχα σῶσον: Τῆς παναγίας:— ἐκφ:

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσ:—

ἀντιφ α΄· Ἀγαθὸν τὸ ἐξομολο:—

Εὐχὴ ἀντιφώνου β΄:—

Κύριε ὁ Θεὸς ἡμῶν· σῶσον τὸν λαόν σου·

καὶ εὐλόγησον τὴν κληρονομίαν σου·

τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύ

λαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν

εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς

ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει·

καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλ

πίζοντας ἐπὶ σοί:— ὁ ἔτι καὶ ἔτι·

ἀντιχα· Τῆς παναγίας, ἐκφ λ

Ὅτι σὸν τὸ κράτος· καὶ σοῦ ἐστιν ἡ βασι:

ἀντιφ β΄· Ὁ Κς ἐβασί: Δόξα· καὶ νῦν·

ὁ χ(ορὸ)ς· ὁ μονογενής:- Ἐπ ἀντιφ(ώνου) γ'.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡ-
μῖν χαρισάμενος προσευχάς· ὁ καὶ
δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνό-
ματί σου· τὰς αἰτήσεις παρέχειν ἐ-
παγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν
δούλων σου τὰ αἰτήματα πρὸς τὸ
συμφέρον πλήρωσον· χορηγῶν ἡμῖν
ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν
τῆς σῆς ἀληθείας· καὶ ἐν τῷ μέλλον-
τι ζωὴν αἰώνιον χαριζόμενος:-

Ἔτι καὶ ἔτι· τῆς παναγίας· ἐκφ(ώνησις):-
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θ(εὸ)ς ὑπάρ(χεις).
καὶ ἐν ἀντιφ(ώνῳ) γ'· Δεῦτε ἀγαλλιασώμεθα:
Καὶ γίνεται εἴσο(δος):· Εὐ(χὴ) τῆς εἰσόδου:-

Δέσποτα Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν· ὁ καταστήσας ἐ(ν)
οὐρανοῖς· τάγματα καὶ στρατιὰς ἀγγέ-
λων καὶ ἀρχαγγέλων· εἰς λειτουργίαν
τῆς σῆς δόξης· ποίησον σὺν τῇ εἰσό-
δῳ ἡμῶν· εἴσοδον ἁγίων ἀγγέλων γενέ-
σθαι· συλλειτουργούντων ἡμῖν· καὶ συ(ν)-

δοξολογούντων τὴν σὴν ἀγαθότητα:—

Εὐχὴ τοῦ τρισαγίου:—

Ὁ θεὸς ὁ ἅγιος· ὁ ἐν ἁγίοις ἀναπαυόμενος·
ὁ τρισαγίᾳ φωνῇ ὑπὸ τῶν σεραφὶμ
ἀνυμνούμενος· καὶ ὑπὸ τῶν χερου-
βὶμ δοξολογούμενος· καὶ ὑπὸ πά-
σης ἐπουρανίου δυνάμεως προσκυνού-
μενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας
τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν·
καὶ παντί σου χαρίσματι κατακο-
σμήσας· καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ
σύνεσιν· καὶ μὴ παρορῶν ἁμαρτά-
νοντας· ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετά-
νοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπει-
νοὺς καὶ ἀναξίους δούλους σου· καὶ ἐν
τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς
δόξης τοῦ ἁγίου σου θυσιαστηρίου· καὶ τὴν
ὀφειλομένην σοι προσκύνησιν καὶ
δοξολογίαν προσφέρειν· αὐτὸς δέσπο-
τα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν

τῶν ἁμαρτωλῶν τῶν πρισφέλον ὕ-
μνον. καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρη-
στότητί σου. συγχώρησον ἡμῖν πᾶν
πλημμέλημα ἑκούσιόν τε καὶ ἀκού-
σιον. φυλάσον ἡμῶν τὰς ψυχὰς καὶ τὰ
σώματα. καὶ δὸς ἡμῖν ἐν ὁσιότητι
λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς
ζωῆς ἡμῶν. πρεσβείαις τῆς ἁγίας
θ(εοτό)κου. καὶ πάντων τῶν ἁγίων τῶν
ἀπ' αἰῶνός σοι εὐαρεστησάντων:—

Εἴπωμεν πάντ(ες):· Ἐξ ὅλης ψυχῆς:·
Κ(ύρι)ε παντοκράτωρ:· Ὑ(πὲρ) τοῦ ῥυσθῆναι ἡμᾶς.
Ἐλέησον ἡμᾶς ὁ θ(εὸ)ς:· Ὑ(πὲρ) τῶν εὐσεβεστάτ(ων):·

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας:—

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν. τὴν ἐκτενῆ ταύτην ἱκε-
σίαν πρόσδεξαι παρὰ τῶν σῶν δού-
λων. καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆ-
θος τοῦ ἐλέους σου καὶ τοὺς οἰκτιρμούς
σου κατάπεμψον ἐφ' ἡμᾶς. καὶ ἐπὶ πάν-
τα τὸν λαόν σου:— Ἐκφ(ώνησις)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θ(εὸ)ς ὑπάρ(χεις)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ψυχῶν τῶν δούλων τοῦ θ(εο)ῦ [illegible]
[illegible] τῶν σεβασμίων [illegible] χορηγ[illegible] [illegible]
ἀρχ[illegible] [illegible] [illegible] [illegible]:—

Εὔξασθε οἱ κατηχού(μενοι): Οἱ πιστοὶ ὑπὲρ τῶν
Κατηχήσει αὐτούς: Ἀποκαλύψει αὐτ(οῖς)·
Ἑνώσει αὐτοὺς τ(ῇ): Σῶσον ἐλέησον·
Οἱ κατηχούμενοι: Εὐχὴ κατηχουμέ(νων)
πρὸ τῆς ἁγ(ίας) ἀναφορᾶς τοῦ ἁγ(ίου) Βασι(λείου):—

Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν· ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ
ἐφορῶν ἐπὶ πάντα τὰ ἔργα σου·
ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς
κατηχουμένους· τοὺς κεκλικότας τοὺς
ἑαυτῶν αὐχένας ἐνώπιόν σου· δὸς αὐτοῖς
τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς
μέλη τίμια τῆς ἁγίας σου ἐκκλησίας· καὶ
καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς πα-
λιγγενεσίας· τῆς ἀφέσεως τῶν ἁμαρ-
τιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρ-
σίας· εἰς ἐπίγνωσίν σου τοῦ ἀληθινοῦ
Θ(εο)ῦ ἡμῶν:— Ἐκφ(ώνησις):—

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι:—
Ὅσοι κατηχούμενοι προέλθ(ετε): Οἱ κατηχού(μενοι):
Ὅσοι κατηχού(μενοι): Εὐχὴ πιστῶν α΄ μετὰ τὸ
ἁπλωθῆναι τὸ εἰλητόν:—

Σὺ κε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο
τῆς σωτηρίας μυστήριον· σὺ κατηξίω
σας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξί
ους δούλους σου· γενέσθαι λειτουργοὺς
τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνω
σον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου
πνς εἰς τὴν διακονίαν ταύτην· ἵνα
ἀκατακρίτως παραστάντες ἐνώπιον τῆς
ἁγίας δόξης σου προσάγωμέν σοι
θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν
τὰ πάντα ἐν πᾶσι· δὸς κε καὶ ὑπὲρ
τῶν ἡμετέρων ἁμαρτημάτων καὶ
τῶν τοῦ λαοῦ ἀγνοημάτων· δεκτὴν
γενέσθαι τὴν θυσίαν ἡμῶν· καὶ εὐ
ϛ´ πρόσδεκτον ἐνώπιόν σου:— ἐκφ
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσ:—
Εἰρήνη τοῦ κυ:· Ὑπ τῆς ἄνωθεν εἰρ
Ὑπ τῆς εἰρήνης τοῦ:· Ὑπ τοῦ ἁγ οἴκου τούτου·
Ὑπ τοῦ ρυσ:— Ἐπὶ πιστῶν· β:—
Ὁ θς ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ
οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν·

ὁ ἱκανώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ
ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους
σου κατενώπιον τῆς ἁγίας δόξης σου·
λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ·
σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ
ἁγίου σου πνεύματος· εἰς τὴν διακονίαν ταύ
την· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει
τοῦ στόματος ἡμῶν· εἰς τὸ ἐπικαλεῖσ
θαι τὴν χάριν τοῦ ἁγίου σου πνεύματος· ἐπὶ
τὰ μέλλοντα προτίθεσθαι δῶρα ἡ:—

ὁ διάκ(ονος)· στίχ(ος)· Σοφία· ὁ ἱερ(εύς)· ἐκφ(ώνως):—
Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυ(λαττόμενοι):—
Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς ὑπὲρ αὐτοῦ εἰσερχο(μένων) τῶν ἁγ(ίων) δώ(ρων):—

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων
ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς
προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λει
τουργεῖν σοι βασιλεῦ τῆς δόξης· τὸ
γὰρ διακονεῖν σοι· μέγα καὶ φοβερὸν·
καὶ ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρό
σιτον· ἀλλ᾽ ὅμως διὰ τὴν ἄμετρον
σου φιλανθρωπίαν· ἀτρέπτως καὶ ἀναλλοι

ω τος ὤν· γέγονας ἄνθρωπος· καὶ ἀρχιε
ρεὺς ἡμῶν ἐχρημάτισας· καὶ τῆς λει
τουργικῆς ταύτης καὶ ἀναιμάκτου
θυσίας τὴν ἱερουργίαν παρέδωκας
ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων.
σὺ γὰρ δεσπόζεις τῶν ἐπουρανίων καὶ
ἐπιγείων καὶ καταχθονίων· ὁ ἐπὶ θρό
νου χερουβικοῦ ἐποχούμενος· ὁ τῶν
σεραφὶμ κ(ύριο)ς καὶ βασιλεὺς τοῦ Ἰσ(ρα)ήλ·
ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυό
μενος· σὲ δυσωπῶ τὸν μόνον ἀγαθὸν
καὶ ἀλήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁ
μαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· κ(αὶ)
ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου
πν(εύματο)ς· ἐνδεδυμένον τὴν τῆς ἱερα
τείας χάριν· παραστῆναι τῇ ἁγίᾳ σου
ταύτῃ τραπέζῃ· καὶ ἱερουργῆσαι
τὸ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον
αἷμα· σοὶ γὰρ κλίνω τὸν ἐμαυτοῦ
αὐχένα καὶ δέομαί σου· μὴ ἀποστρέ
ψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ·

μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου·
ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι τὰ δῶ-
ρα ταῦτα ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ
ἀναξίου δούλου σου· σὺ γὰρ εἶ ὁ προσ-
φέρων καὶ προσφερόμενος· ὁ δεχό-
μενος· καὶ διαδιδόμενος Χριστὲ ὁ Θεὸς ἡ-
μῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν·
σὺν τῷ ἀνάρχῳ σου πατρί· καὶ τῷ παναγί-
ῳ· καὶ ἀγαθῷ· καὶ ζωοποιῷ σου πνεύματι νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων
ἀμήν:— Πληρώσωμεν:: Ὑπὲρ τῶν προτεθέντων·
Ὑπὲρ τοῦ ἁγίου οἴκου:: Ὑπὲρ τοῦ ῥυσθῆναι:: Ἐν ᾧ μετὰ τὸ ἀ-
ποτεθῆναι τὰ δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ:—
Κε ὁ θεὸς ἡμῶν ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς
τὴν ζωὴν ταύτην· ὁ ὑποδείξας ἡμῖν
ὁδοὺς εἰς σωτηρίαν· ὁ χαρισάμενος ἡμῖν
οὐρανίων μυστηρίων ἀποκάλυψιν· καὶ
θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύ-
την· ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ
ἁγίου· εὐδόκησον γενέσθαι ἡμᾶς διακό-
νους τῆς καινῆς σου διαθήκης· λειτουρ

γιον τῶν ἁγίων σου μυστηρίων· πρόσδε-
ξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου
θυσιαστηρίῳ· κατὰ τὸ πλῆθος τοῦ ἐλέ-
ους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέ-
ρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναί-
μακτον θυσίαν· ὑπέρ τε τῶν ἡμετέρων
ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνο-
ημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον
καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστή-
ριον εἰς ὀσμὴν εὐωδίας· ἀντικατάπεμ-
ψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος· ἐ-
πίβλεψον ἐφ᾽ ἡμᾶς ὁ θεός· καὶ ἔπιδε ἐ-
πὶ τὴν λατρείαν ἡμῶν ταύτην· καὶ πρόσ-
δεξαι αὐτὴν ὡς προσεδέξω Ἄβελ τὰ
δῶρα· Νῶε τὰς θυσίας· Ἀβραὰμ τὰς
ὁλοκαρπώσεις· Μωσέως καὶ Ἀα-
ρὼν τὰς ἱερωσύνας· Σαμουὴλ τὰς
εἰρηνικάς· ὡς προσεδέξω ἐκ τῶν
ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν
ταύτην λατρείαν· οὕτως καὶ ἐκ τῶν χει-
ρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσ-

δέξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί
σου Κ(ύρι)ε· ἵνα καταξιωθέντες λειτουργεῖν
ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ· εὕ-
ρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρο-
νίμων οἰκονόμων· ἐν τῇ ἡμέρᾳ τῇ
φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς
δικαίας:— ὁ δ(ιάκονος) Ἀντιλ(αβοῦ)· Τὴν ἡμέραν·
Ἄγγελον εἰρή(νης):· Συγγνώμην:· Τὰ καλὰ καὶ·
τὸν ὑπόλ(οιπον):· Χριστιανὰ:· Τῆς παναγ(ίας) ἀχράν(του):·
Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς:·
ὁ χ(ορός)· Ἀμήν· ὁ ἱερ(εύς) Εἰρήνη πᾶ(σι)· ὁ δ(ιάκονος)
Ἀγαπήσωμεν:· Τὰς θύρας:· ὁ χ(ορός)· Πιστεύω εἰς·
Στῶμεν καλ(ῶς):· Στῶμεν:· ὁ χ(ορός)· Ἔλεον εἰρήνης:—
Ἡ χάρις τοῦ Κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ καὶ ἡ χ(άρις):·
ὁ ἱερ(εύς)· Ἄνω σχῶμεν τὰς:· ὁ χ(ορός)· Ἔχομεν πρ(ὸς)· ὁ ἱερ(εύς)
Εὐχαριστήσωμεν τῷ Κ(υρί)ῳ· ὁ χ(ορός)· Ἄξιον καὶ δίκαιον:·
Ἐπὶ τῆς ἁγ(ίας) ἀναφορᾶς:—
Ὁ ὢν δέσποτα Κ(ύρι)ε Θεὲ πάτερ παντοκρά-
τωρ· προσκυνητὲ ἄξιον ὡς ἀλη-
θῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλο-
πρεπείᾳ τῆς ἁγιωσύνης σου· σὲ αἰνεῖν·

σὲ ὑμνεῖν· σὲ προσκυνεῖν· σοὶ εὐχαρι
στεῖν· σὲ δοξάζειν τὸν μόνον ὄντως ὄν
τα θεόν· καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ
συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως·
τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅ
τι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν
τῆς σῆς ἀληθείας· καὶ τίς ἱκανὸς λαλῆ
σαι τὰς δυναστείας σου· ἀκουστὰς ποιῆσαι
πάσας τὰς αἰνέσεις σου· ἢ διηγήσασθαι
πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ·
δέσποτα τῶν ἁπάντων· κύριε οὐρανοῦ καὶ
γῆς καὶ πάσης κτίσεως· ὁρωμένης τε
καὶ οὐχ ὁρωμένης· ὁ καθήμενος ἐπὶ θρό
νου δόξης καὶ ἐπιβλέπων ἀβύσσους· ἄ
ναρχε· ἀόρατε· ἀκατάληπτε· ἀπερί
γραπτε· ἀναλλοίωτε· ὁ πατὴρ τοῦ κυρίου ἡ
μῶν Ἰησοῦ Χριστοῦ· τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν·
ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος· σφρα
γὶς ἰσότυπος ἐν ἑαυτῷ· δεικνὺς σὲ τὸν
πατέρα· λόγος ζῶν· θεὸς ἀληθινός· ἡ πρὸ
αἰώνων σοφία· ζωή· ἁγιασμός· δύναμις·

τὸ φῶς τὸ ἀληθινόν· παρ' οὗ τὸ πνεῦμα τὸ
ἅγιον ἐξεφάνη· τὸ τῆς ἀληθείας πνεῦμα·
τὸ τῆς υἱοθεσίας χάρισμα· ὁ ἀρρα
βὼν τῆς μελλούσης κληρονομίας· ἡ ἀπαρ
χὴ τῶν αἰωνίων ἀγαθῶν· ἡ ζωοποιὸς δύ
ναμις· ἡ πηγὴ τοῦ ἁγιασμοῦ· παρ' οὗ πᾶ
σα κτίσις λογική τε καὶ νοερὰ δυναμου
μένη· σοὶ λατρεύει καὶ σοὶ τὴν ἀΐδιον ἀνα
πέμπει δοξολογίαν· ὅτι τὰ σύμ
παντα δοῦλα σά· σὲ γὰρ αἰνοῦσιν ἄ
γγελοι· θρόνοι· κυριότητες· ἀρχαί·
ἐξουσίαι· δυνάμεις· καὶ τὰ πολυό
μματα χερουβίμ· σοὶ παρίστανται
κύκλῳ τὰ σεραφίμ· ἓξ πτέρυγες τῷ
ἑνί· καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς
μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσω
πα αὐτῶν· ταῖς δὲ δυσὶ τοὺς πόδας·
καὶ ταῖς δυσὶ πετόμενα· κέκραγεν
ἕτερον πρὸς τὸ ἕτερον· ἀκαταπαύ
στοις στόμασιν· ἀσιγήτοις δοξολογίαις:—

ἐκφ(ώνως) Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα· βοῶντα καί:—

ὁ χο(ρός)· ἅγιος· ἅγιος· ἅγιος· ὁ ἱερ(εύς)· τὴν ἐκ(φώνησιν):—

Μετὰ τούτων τῶν μακαρίων δυνάμε-
ων δέσποτα φιλάνθρωπε καὶ ἡμεῖς οἱ ἁμαρ-
τωλοὶ βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ
ὡς ἀληθῶς καὶ πανάγιος· καὶ οὐκ ἔστι
μέτρον τῆς μεγαλοπρεπείας τῆς
ἁγιωσύνης σου· ὅτι ἐν δικαιοσύνῃ καὶ
κρίσει ἀληθινῇ· πάντα ἐπήγαγες ἡ-
μῖν· πλάσας γὰρ τὸν ἄνθρωπον χοῦν λα-
βὼν ἀπὸ τῆς γῆς· καὶ εἰκόνι τῇ σῇ·
ὁ θεὸς τιμήσας αὐτόν· τέθηκας αὐτὸν
ἐν παραδείσῳ τῆς τρυφῆς· ἀθανα-
σίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων
ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου·
ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρα-
κούσαντά σου τοῦ ἀληθινοῦ θεοῦ τοῦ
κτίσαντος αὐτόν· καὶ τῇ ἀπάτῃ τοῦ
ὄφεως ὑπαχθέντα· νεκρωθέντα τε
αὐτόν· τοῖς οἰκείοις αὐτοῦ παραπτώ-
μασιν· ἐξώρισας αὐτὸν ἐκ τοῦ παρα-
δείσου ἐν τῇ δικαιοκρισίᾳ σου:

ὁ θ(εὸ)ς εἰς τὸν κόσμον τοῦτον· καὶ ἀποστρέ-
ψας αὐτὸν εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη· οἰκο-
νομῶν αὐτῷ· τὴν ἐκ παλιγγενεσίας σωτηρί-
αν· τὴν ἐν αὐτῷ, τῷ Χ(ριστ)ῷ σου· οὐ γὰρ ἀπε-
στράφης τὸ πλάσμα σου εἰς τέλος ὃ ἐποί-
ησας ἀγαθέ· οὐδὲ ἐπελάθου ἔργων χει-
ρῶν σου· ἀλλ' ἐπεσκέψω πολυτρόπως
διὰ σπλάγχνα ἐλέους σου· προφήτας ἐ-
ξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν
ἁγίων σου· τῶν καθ' ἑκάστην γενεὰν καὶ
γενεὰν εὐαρεστησάντων σοι· ἐλά-
λησας διὰ στόματος τῶν δούλων
σου τῶν προφητῶν· προκαταγ-
γέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσ-
θαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν·
ἀγγέλους ἐπέστησας φύλακας· ὅτε δὲ
ἦλθε τὸ πλήρωμα τῶν καιρῶν· ἐλά-
λησας ἡμῖν ἐν αὐτῷ, τῷ υἱῷ σου· δι'
οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· ὃς ὢν
ἀπαύγασμα τῆς δόξης σου· καὶ χα-
ρακτὴρ τῆς ὑποστάσεώς σου· φέ-

φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυ
νάμεως αὐτοῦ· οὐχ ἁρπαγμὸν ἡγήσα
το εἶναι ἴσα τῷ θῷ καὶ πρί· ἀλλὰ θς
ὢν προαιώνιος· ἐπὶ τῆς γῆς ὤφθη
καὶ τοῖς ἀνοις συνανεστράφη· καὶ ἐκ
παρθένου ἁγίας σαρκωθείς· ἐκένωσεν
ἑαυτὸν μορφὴν δούλου λαβών· σύμ
μορφος γενόμενος τῷ σώματι τῆς
ταπεινώσεως ἡμῶν· ἵνα ἡμᾶς σύμ
μόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δό
ξης αὐτοῦ· ἐπειδὴ γὰρ δι᾽ ἀνου ἡ ἁμαρτί
α εἰσῆλθεν εἰς τὸν κόσμον· καὶ διὰ
τῆς ἁμαρτίας ὁ θάνατος· εὐδόκησεν
ὁ μονογενής σου υἱός· ὁ ὢν ἐν τοῖς κόλ
ποις σοῦ τοῦ θυ καὶ πρς· γενόμενος
ἐκ γυναικὸς τῆς ἁγίας θκου καὶ ἀειπαρ
θένου μαρίας· γενόμενος ὑπὸ νό
μον· κατακρῖναι τὴν ἁμαρτίαν ἐν
τῇ σαρκὶ αὐτοῦ· ἵνα οἱ ἐν τῷ ἀδὰμ
ἀποθνήσκοντες· ζωοποιηθῶσιν
ἐν αὐτῷ τῷ χῷ σου· καὶ ἐμπολιτευ

σάμενος τῷ κόσμῳ τούτῳ· δοὺς προ-
στάγματα σωτηρίας· ἀποστήσας ἡμᾶς τῆς
πλάνης τῶν εἰδώλων· προσηγάγετο
ἡμᾶς τῇ ἐπιγνώσει σου τοῦ ἀληθινοῦ
θεοῦ καὶ πατρός· κτησάμενος ἑαυτῷ λαὸν
περιούσιον· βασίλειον ἱεράτευμα·
ἔθνος ἅγιον· καὶ καθαρίσας ἡμᾶς ἐν ὕ-
δατι· καὶ ἁγιάσας ἡμᾶς ἐν τῷ πνεύματι τῷ ἁ-
γίῳ· ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θα-
νάτῳ· ἐν ᾧ κατειχόμεθα πεπρα-
μένοι ὑπὸ τῆς ἁμαρτίας· καὶ κατελ-
θὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην· ἵνα πλη-
ρώσῃ ἑαυτοῦ τὰ πάντα· ἔλυσε τὰς ὀ-
δύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ
τρίτῃ ἡμέρᾳ· καὶ ὁδοποιήσας πάσῃ
σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν· καθό-
τι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς
φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς· ἐγέ-
νετο ἀπαρχὴ τῶν κεκοιμημένων· πρω-
τότοκος ἐκ τῶν νεκρῶν· ἵνα ᾖ αὐτὸς
τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ

ἀνελθὼν εἰς τοὺς οὐρανούς· καθήσεν ἐν
δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς·
ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστω κατὰ τὰ
ἔργα αὐτοῦ· καταλιπὼν δὲ ἡμῖν ὑπο
μνήματα τοῦ σωτηρίου πάθους αὐτοῦ· ταῦ
τα ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ
ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν
ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν
αὐτοῦ θάνατον· ἐν τῇ νυκτὶ ᾗ παρεδίδου
ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· λα
βὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράν
των χειρῶν· καὶ ἀναδείξας σοὶ τῷ θεῷ
καὶ πατρί· εὐχαριστήσας· εὐλογήσας· ἁγι
άσας· κλάσας· ἔδωκε τοῖς ἁγίοις αὐτοῦ
μαθηταῖς καὶ ἀποστόλοις εἰπών:
ἐκφ Λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμά μου·
τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφε:
Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήμα
τος τῆς ἀμπέλου λαβών· κεράσας·
εὐχαριστήσας· εὐλογήσας· ἁγιάσας· ἔ
δωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀ

τοῖς ἀποστόλοις εἰπών:— ἐκφώ(νως)

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης:—

ὁ χ(ορ)ὸ(ς)· ἀμήν· ὁ ἱε(ρεύς)· ἐπεύχεται:—

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον· καὶ τὸ ποτήριον τοῦτο πίνητε· τὸν ἐμὸν θάνατον καταγγέλλετε· τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε· μεμνημένοι οὖν δέσποτα καὶ ἡμεῖς· τῶν σωτηρίων αὐτοῦ παθημάτων· τοῦ ζωοποιοῦ σταυροῦ· τῆς τριημέρου ταφῆς· τῆς ἐκ νεκρῶν ἀναστάσεως· τῆς εἰς οὐρανοὺς ἀνόδου· τῆς ἐκ δεξιῶν σου τοῦ θ(εο)ῦ καὶ π(ατ)ρ(ὸ)ς καθέδρας· καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας:— ἐκφώ(νως)

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα:—

ὁ χ(ορ)ὸ(ς)· Σὲ ὑμνοῦμεν: σὲ εὐλογοῦ(μεν)· σοὶ εὐ(χαριστοῦμεν)·

Διὰ τοῦτο δέσποτα πανάγιε καὶ ἡμεῖς

οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου·
οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ
σου θυσιαστηρίῳ· οὐ διὰ τὰς δικαιοσύνας
ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐ-
πὶ τῆς γῆς· ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ
τοὺς οἰκτιρμούς σου· οὓς ἐξέχεας πλου-
σίως ἐφ' ἡμᾶς· θαρροῦντες προσε-
γγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ
προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου
σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· σοῦ δε-
όμεθα καὶ σὲ παρακαλοῦμεν ἅγιε
ἁγίων· εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος
ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς·
καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα·
καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι καὶ
ἀναδεῖξαι:— Καὶ ἀνιστάμενος
ὁ ἱερεὺς σφραγίζων τὰ ἅγια δῶρα λέγει:—
Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον
σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ:: ὁ διάκονος ἀμήν:—
Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον·

ὁ λαός· ἀμήν:—

αἵματος Χριστοῦ καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ:—
τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς:—
ὁ λαός· ἀμήν: Καὶ πάλιν κλινόμενος ὁ ἱερεύς
Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου
καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώ-
σαις ἀλλήλοις· εἰς ἑνὸς πνεύματος ἁγίου
κοινωνίαν· καὶ μηδένα ἡμῶν εἰς
κρίμα ἢ εἰς κατάκριμα ποιήσεις·
μετασχεῖν τοῦ ἁγίου σώματος καὶ αἵ-
ματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν
ἔλεον καὶ χάριν μετὰ πάντων τῶν
ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάν-
των· προπατόρων· πατέρων· πατρι-
αρχῶν· προφητῶν· ἀποστόλων·
κηρύκων· εὐαγγελιστῶν· μαρτύρων·
ὁμολογητῶν· διδασκάλων· καὶ παν-
τὸς πνεύματος δικαίου ἐν πίστει τετελει-
ωμένου:— ἐκφώνως:—
Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερ-
ευλογημένης δεσποίνης ἡμῶν θεοτόκου:
∴ Καὶ εὐθὺς λέγει ὁ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων:—

ὁ ἱερεύς:

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου
προδρόμου καὶ βαπτιστοῦ· τοῦ ἁγ(ίου)
τοῦ(δε)· οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν.
Καὶ πάντων τῶν ἁγίων σου ὧν ταῖς ἱκε-
σίαις ἐπίσκεψαι ἡμᾶς ὁ θ(εό)ς· καὶ μνήσθη-
τι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλ-
πίδι ἀναστάσεως ζωῆς αἰωνίου· καὶ ἀ-
νάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ
φῶς τοῦ προσώπου σου:—
Ἔτι σου δεόμεθα· μνήσθητι κ(ύρι)ε τῆς
ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς
ἐκκλησίας· τῆς ἀπὸ περάτων ἕως
περάτων τῆς οἰκουμένης· καὶ εἰρήνευ-
σον αὐτήν· ἣν περιεποιήσω τῷ τιμίῳ αἵ-
ματι τοῦ Χ(ριστο)ῦ σου· καὶ τὸν ἅγιον οἶκον τοῦ-
τον στερέωσον μέχρι τῆς συντελείας τοῦ
αἰῶνος· μνήσθητι κ(ύρι)ε τῶν τὰ δῶρά σοι
ταῦτα προσκομισάντων· ὑπὲρ ὧν κ(αὶ)
δι' ὧν καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν.
μνήσθητι κ(ύρι)ε τῶν καρποφορούντων·
καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐ-

λ

κκλησίαις καὶ μεμνημένων μου τῶν προ-
ϊόντων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις
σου καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι
αὐτοῖς· ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια·
ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια· ἀν-
τὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα· μνή-
σθητι κ(ύρι)ε τῶν ἐν ἐρημίαις καὶ ὄρεσι καὶ
σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς·
μνήσθητι κ(ύρι)ε τῶν ἐν παρθενίᾳ καὶ
εὐλαβείᾳ· καὶ ἀσκήσει· καὶ σεμνῇ πο-
λιτείᾳ διαγόντων· μνήσθητι κ(ύρι)ε τῶν
εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν
βασιλέων οὓς ἐδικαίωσας βασιλεύειν
ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας· ὅπλῳ
εὐδοκίας· στεφάνωσον αὐτούς· ἐπισκία-
σον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ
πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βρα-
χίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν·
κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑ-
πόταξον αὐτοῖς πάντα τὰ βαρβα-
ρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα·

χάρισαι αὐτοῖς καὶ θείαν καὶ ἀνα
φαίρετον εἰρήνην· λάλησον εἰς τὴν
καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς ἐκκλη
σίας σου καὶ παντὸς τοῦ λαοῦ σου· ἵ
να ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καὶ ἡ
σύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβεί
ᾳ καὶ σεμνότητι· μνήσθητι κε πάσης
ἀρχῆς καὶ ἐξουσίας καὶ τῶν ἐν τῷ
παλατίῳ ἀδελφῶν ἡμῶν· καὶ παν
τὸς τοῦ στρατοπέδου· τοὺς ἀγαθοὺς
ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς
πονηρούς· ἀγαθοὺς ποίησον ἐν τῇ χρη
στότητί σου· μνήσθητι κε τοῦ περι
εστῶτος λαοῦ· καὶ τῶν δι' εὐλόγους αἰ
τίας ἀπολειφθέντων· καὶ ἐλέησον
αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ
ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμ
πλησον παντὸς ἀγαθοῦ· τὰς συ
ζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ
διατήρησον· τὰ νήπια ἔκθρεψον·
τὴν νεότητα παιδαγώγησον· τοὺς ὀλι

γοψύχους παραμύθησαι· τοὺς ἐσκορ-
πισμένους ἐπισυνάγαγε· τοὺς πεπλα-
νημένους ἐπανάγαγε· καὶ σύναψον τῇ
ἁγίᾳ σου καθολικῇ ἐκκλησίᾳ· τοὺς
ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων
ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευ-
σον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χη-
ρῶν προστήθη· ὀρφανῶν ὑπεράσπι-
σαι· τοὺς αἰχμαλώτους ῥῦσαι· ἀσθε-
νοῦντας ἴασαι· τῶν ἐν βήμασι καὶ
ἐν μετάλλοις καὶ ἐν ἐξορίαις καὶ πι-
κραῖς δουλείαις· καὶ πάσῃ θλί-
ψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων·
μνημόνευσον ὁ θς· καὶ πάντων τῶν
δεομένων τῆς σῆς μεγάλης εὐσπλα-
γχνίας· καὶ πάντων τῶν ἀγαπώντων
τῶν ἡμᾶς καὶ μισούντων· καὶ τῶν
ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις,
εὔχεσθαι ὑπὲρ αὐτῶν καὶ παντὸς τοῦ
λαοῦ σου· μνήσθητι κε ὁ θς ἡμῶν
καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιον

σου ἔλεος· πᾶσι παρέχων τὰ πρὸς
σωτηρίαν αἰτήματα· Καὶ ὅσους ἡμεῖς οὐκ ἐ-
μνημονεύσαμεν δι' ἄγνοιαν ἢ λήθην·
ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημό-
νευσον ὁ θεὸς ὁ εἰδὼς ἑκάστου τὴν ἡλι-
κίαν καὶ τὴν προσηγορίαν· ὁ εἰδὼς
ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ· σὺ γὰρ κε
ἡ βοήθεια τῶν ἀβοηθήτων· ἡ ἐλπὶς
τῶν ἀπηλπισμένων· ὁ τῶν χειμα-
ζομένων λιμήν· ὁ τῶν νοσούντων
ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα
γενοῦ ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα
αὐτοῦ· οἶκον καὶ τὴν χρείαν αὐτοῦ· ῥῦσαι
κε τὴν πόλιν ταύτην καὶ πᾶσαν πό-
λιν καὶ χώραν· ἀπὸ λιμοῦ, λοιμοῦ·
σεισμοῦ· καταποντισμοῦ· πυρὸς·
μαχαίρας· ἐπιδρομῆς ἀλλοφύλων
καὶ ἐμφυλίου πολέμου:- Ἐκφ

Ἐν πρώτοις μνήσθητι κε τοῦ ἐπισκόπου
ἡμῶν τοῦ δεῖνα· ὃν χάρισαι ταῖς ἁγίαις:-
ὁ διάκ· τὰ δίπτυχα τῶν ζώντων:-

ἐπὶ τῇ εὐχ(ῇ) ::

Μνήσθητι Κ(ύρι)ε πάσης ἐπισκοπῆς
ὀρθοδόξων· τῶν ὀρθοτομούντων
τὸν λόγον τῆς σῆς ἀληθείας. μνήσ-
θητι Κ(ύρι)ε κατὰ τὸ πλῆθος τῶν οἰκτιρ-
μῶν σου καὶ τῆς ἐμῆς ἀναξιό-
τητος· συγχώρησόν μοι πᾶν πλημμέ-
λημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ μὴ
διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσεις τὴν
χάριν τοῦ ἁγίου σου πν(εύματο)ς ἀπὸ τῶν προ-
κειμένων δώρων· μνήσθητι Κ(ύρι)ε τοῦ πρεσ-
βυτερίου· τῆς ἐν Χ(ριστ)ῷ διακονίας καὶ
παντὸς ἱερατικοῦ τάγματος· καὶ μη-
δένα ἡμῶν καταισχύνῃς, τῶν κυκλούν-
των τὸ ἅγιόν σου θυσιαστήριον· ἐπίσκε-
ψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου Κ(ύρι)ε· ἐπι-
φάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰ-
κτιρμοῖς· εὐκράτους καὶ ἐπωφελεῖς
τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰ-
ρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν
δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ
ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦ-

σου· τὰ σχίσματα τῶν ἐκκλησιῶν· σβέσον
τὰ φρυάγματα τῶν ἐθνῶν· τῶν αἱρέσε
ων ἐπαναστάσεις· ταχέως κατάλυσον τῇ
δυνάμει τοῦ ἁγίου σου πνς· πάντας ἡμᾶς
πρόσδεξαι εἰς τὴν βασιλείαν σου· υἱοὺς
φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας·
τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην
χάρισαι ἡμῖν κε ὁ θς ἡμῶν· πάντα γὰρ
ἀπέδωκας ἡμῖν·— Ἐκφώ:
Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ:—
Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θυ καὶ:—
Πάντων τῶν ἁγίων:· Ὑπὲρ τῶν προσκομισ:
Ὅπως ὁ φιλάνθρωπος:· Ἀντικαταπέμψαι:—
Τοῦ ῥυσθῆναι ἡμᾶς:· Ὁ ἱ(ερεὺς) εὔχεται οὕτως:—
Ὁ θς ἡμῶν ὁ θς τοῦ σώζειν· σὺ ἡμᾶς
δίδαξον εὐχαριστεῖν σοι ἀξίως τῶν εὐ
εργεσιῶν σου· ὧν ἐποίησας καὶ ποι
εῖς μεθ' ἡμῶν· σὺ εἶ ὁ θς ἡμῶν ὁ προσ
δεξάμενος τὰ δῶρα ταῦτα· καθάρισον
ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς
καὶ πνς· καὶ δίδαξον ἐπιτελεῖν ἁγ

γνῶσιν ἡμῶν φόβου σου· ἵνα ἐν καθαρῷ
τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν·
ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγι-
ασμάτων σου· ἑνωθῶμεν τῷ ἁγίῳ σώ-
ματι καὶ αἵματι τοῦ Χριστοῦ σου· καὶ ὑπο-
δεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν
Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡ-
μῶν· καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου
πνεύματος· ναὶ ὁ θεὸς ἡμῶν· καὶ μηδένα
ἡμῶν ἔνοχον ποιήσεις τῶν φρικτῶν
σου τούτων καὶ ἐπουρανίων μυστηρίων·
μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι· ἐκ τοῦ
ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλ-
λὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν
ἀναπνοῆς· ἀξίως ὑποδέχεσθαι τὴν
ἐλπίδα τῶν ἁγιασμάτων σου· εἰς ἐφό-
διον ζωῆς αἰωνίου· εἰς ἀπολογίαν εὐ-
πρόσδεκτον· τὴν ἐπὶ τοῦ φοβεροῦ βή-
ματος τοῦ Χριστοῦ σου· ὅπως ἂν καὶ ἡμεῖς
μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰ-
ῶνος σοι εὐαρεστησάντων γενώμεθα

μετόχους τῶν αἰωνίων σου ἀγαθῶν· ὧν
ἡτοίμασας τοῖς ἀγαπῶσί σε κ(ύρι)ε:—

Ἀντίφ(ωνον) α΄· Τὴν ἡμέραν·: Ἄγγελον εἰρήνης.
Συγγνώμην· Τὰ καλὰ· Τὸ ὑπόλοιπον·
Χριστιανὰ· Τὴν ἑνότ(ητα): ἐκφ(ώνησις)
Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ—
Ὁ χ(ορὸς) α΄ πάτερ ἡμῶν· ὁ ἱερ(εὺς) ἐκφ(ώνησις):—
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις:—
ὁ χ(ορός)· ἀμήν: ὁ ἱερ(εύς)· Εἰρήνη π(ᾶσι)· ὁ χ(ορός)· τὰς κεφ(αλάς)
ὁ ἱερεὺς· τὴν εὐχ(ήν): —

Δέσποτα κ(ύρι)ε ὁ π(ατ)ὴρ τῶν οἰκτιρμῶν· καὶ θ(εὸ)ς πάσης παρακλήσεως· τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον· ἁγίασον· φρούρησον· ὀχύρωσον· ἐνδυνάμωσον· ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον· παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον· καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων τούτων καὶ ζωοποιῶν μυστηρίων· εἰς ἄφεσιν ἁμαρτιῶν· εἰς π(νεύματο)ς ἁγίου κοινωνίαν:—

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ:—
ὁ χο(ρὸς) ἀμήν. ὁ ἱερ(εὺς) κλινόμενος εὔχε(ται):—
Πρόσχες Κ(ύρι)ε Ἰ(ησο)ῦ Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν ἐξ ἁγίου σου
κατοικητηρίου· καὶ ἀπὸ θρόνου
δόξης τῆς βασιλείας σου. ὁ ἄνω τῷ
πατρὶ συγκαθήμενος· καὶ κάτω ἡμῖν
ἀοράτως συνών· καὶ καταξίωσον
τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡ-
μῖν τοῦ ἀχράντου σώματός σου· καὶ τοῦ τιμίου
αἵματος καὶ δι' ἡμῶν παντὶ τῷ λα-
ῷ:— ὁ ἱερ(εὺς): ὑψῶν τὸν ἄρτον λέγει:—
Τὰ ἅγια τοῖς ἁγ(ίοις): χο(ρὸς) εἷς ἅγ(ιος) εἷς Κ(ύριο)ς
Καὶ ἡ θ(εία) οὕτως ὁ ἱερε(ὺς) λαμβάνων τὰς
ἀρχὰς τοῦ ἁγ(ίου) ἄρτου· βάλλει ἐν
τοῖς ποτηρίοις λέγων:—
Πλήρωμα πίστεως Πν(εύματος) ἁγ(ίου) νῦν καὶ ἀεὶ κ(αὶ) εἰς:—
εὐχ(ὴ) μετὰ τὸ πάντας μεταλ(αβεῖν):
Εὐχαριστοῦμέν σοι Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν· ὅτι
τῇ μεταλήψει τῶν ἁγίων ἀχράντων·
ἀθανάτων καὶ ἐπουρανίων σου μυστη-
ρίων· ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργε

σίας καὶ ἱλασμῶν· καὶ ἴασει τῶν ψυχῶν
καὶ τῶν σωμάτων· αὐτὸς δὲ δέσποτα τῶν
ἀγαθῶν ποίησον γενέσθαι τὴν κοινωνίαν
αὐτοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ
σου· εἰς πίστιν ἀκαταίσχυντον· εἰς
ἀγάπην ἀνυπόκριτον· εἰς πλησμο-
νὴν σοφίας· εἰς ἴασιν ψυχῆς καὶ σώμα-
τος· εἰς ἀποτροπὴν παντὸς ἐναν-
τίου· εἰς περιποίησιν τῶν ἐντο-
λῶν σου· εἰς ἀπολογίαν ἀπρόσ-
δεκτον· τὴν ἐπὶ τοῦ φοβεροῦ βήμα-
τος τοῦ Χριστοῦ σου:— ὁ ὀρθοῖς με τὸ χα:
ἀντιχα· Τὴν ἡμέρ:· ἐκφ
Ὁ πς εἰς ὁ ἁγιασμὸς ἡ μέσων καὶ σοί:—
ὁ χα· ἀμήν· ὁ δκ· ἐπὶ εἰρήνη προσελ· ὁ χα
ἐπὶ· ὁ δκ· τοῦ Κυρίου δεη· ὁ χα· Κύριε ἐλέησον:
Εὐχὴ ὀπισθάμβωνος:—
Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε· καὶ
ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας· σῶ-
σον τὸν λαόν σου καὶ εὐλόγησον τὴν
κληρονομίαν σου· τὸ πλήρωμα τῆς

ἐκκλησίας σου φύλαξον· ἁγίασον
τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴ-
κου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θε-
ϊκῇ σου δυνάμει· καὶ μὴ ἐγκαταλίπῃς
ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰ-
ρήνην τῷ κόσμῳ σου δώρησαι· ταῖς
ἐκκλησίαις σου· τοῖς ἱερεῦσι· τοῖς
βασιλεῦσιν ἡμῶν· τῷ στρατῷ καὶ παν-
τὶ τῷ λαῷ· ὅτι πᾶσα δόσις ἀ-
γαθή· καὶ πᾶν δώρημα τέλειον ἄνω-
θεν ἐστὶν καταβαῖνον ἐκ σοῦ τοῦ πα-
τρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐ-
χαριστίαν καὶ προσκύνησιν ἀναπέ-
μπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ
ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων· ἀμήν:—

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προ-
φητῶν· αὐτὸς ὑπάρχεις Χριστὲ ὁ θεὸς ἡ-
μῶν· ὁ πληρώσας πᾶσαν πατρικὴν
οἰκονομίαν· πλήρωσον χαρᾶς καὶ εὐ-
φροσύνης τὰς καρδίας ἡμῶν· πάντοτε

νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—

Ἤνυσται καὶ τετέλεσται· ὅσον εἰς τὴν ἡμετέραν δύναμιν· τὸ τῆς σῆς οἰκονομίας μυστήριον· ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην· εἴδομεν τὸν τῆς ἀναστάσεώς σου τύπον· ἐνεπλήσθημεν τῆς ἀκενώτου σου τρυφῆς· ἀπολαύσαμεν τῶν αἰωνίων σου ἀγαθῶν· ὧν καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξίωσον· πρεσβείαις τῆς ἁγίας Θεοτόκου· καὶ πάντων τῶν ἁγίων σου· ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι:— καὶ ὁ ἱερεὺς ἐκφώνως

Εὐλογία κυρίου ἐφ' ἡμᾶς· πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—

Ἔτι δεόμεθα ὑπὲρ τῶν ψυχῶν τῶν δούλων τοῦ θεοῦ [illegible]

# Ἡ θεία λειτουργία

τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου:–

Εὐχὴ τοῦ θυμιάματος:–

Θυμίαμά σοι προσφέρομεν Χριστὲ ὁ θεὸς ἡμῶν· εἰς ὀσμὴν εὐωδίας· ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος· ὅτι ἀγαθὸς εἶ· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:–

Εὐλογημένος [illegible] τῆς προθέσεως:

Θεὸς ὁ θεὸς ἡμῶν· ὁ τὸν οὐράνιον ἄρτον

τὴν περιφερὴν τοῦ ὑπεραγίου σου κόσμου τὸν
κ(ύριο)ν ἡμῶν καὶ θ(εὸ)ν Ἰ(ησοῦ)ν Χ(ριστό)ν· ἐξαποστεί-
λας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην.
ἁγιάζονται καὶ φυλάζονται ἡμᾶς·
αὐτὸς εὐλόγησον τὴν περίθεσιν ταύ-
την· καὶ περίζωσαι αὐτήν· εἰς
τὸ ὑπερουράνιον σου θυσιαστήριον· μεμνη-
μένος ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· τῶν
προσενεγκάντων, καὶ δι' οὗ προσ-
ήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θεί-
ων σου μυστηρίων: — Ἐκφ(ώνησις)

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον:
Εὐλόγησον δέσποτα· Εὐλογημένη ἡ βασι(λεία): Ἐν εἰρ(ήνῃ)
Ὑπὲρ τῆς ἄνωθεν: Ὑπὲρ τῆς εἰρήνης: Ὑπὲρ τοῦ ἁγίου οἴκου:
Ὑπὲρ τοῦ ἐπισκόπου: Ὑπὲρ τῶν εὐσεβεστάτων: Ὑπὲρ τοῦ συμπολε(μῆσαι):
Ὑπὲρ τῆς πόλεως: Ὑπὲρ εὐκρασίας: Ὑπὲρ πλεόντων:
Ὑπὲρ τοῦ ῥυσθῆναι: Ἐκφ(ώνησις) ἀντιφ(ώνου) α΄.

Κύριε ὁ θ(εὸ)ς ἡμῶν· οὗ τὸ κράτος ἀνείκα-
στον· καὶ ἡ δόξα ἀκατάληπτος· οὗ
τὸ ἔλεος ἀμέτρητον· καὶ ἡ φιλανθρωπία

ἄφατος· αὐτὸς δὲ δέσποτα κατὰ τὴν
εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡ-
μᾶς· καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον·
καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν
συνευχομένων ἡμῖν πλούσια τὰ
ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου: —
Ἀντιφ. α': Τῆς παναγίας:· Ἐκφ.
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ πρ.
Εὐχὴ ἀντιφ. β': —
Κύριε ὁ θεὸς ἡμῶν· σῶσον τὸν λαόν σου καὶ
εὐλόγησον τὴν κληρονομίαν σου·
τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύ-
λαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν
εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς
ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει·
καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλ-
πίζοντας ἐπὶ σέ: — Ἔτι καὶ ἔτι:
Ἀντιφ. α': Τῆς παναγίας:· Ἐκφ.:
Ὅτι σὸν τὸ κράτος· καὶ σοῦ ἐστιν ἡ βασι:
Εὐχὴ ἀντιφ. γ': —
Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους

ἡμῖν χαρισάμενος προσευχὰς
ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ
τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέ-
χειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν
τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ
συμφέρον πλήρωσον· χορηγῶν ἡμῖν
ἐν τῷ παρόντι αἰῶνι, τὴν ἐπίγνωσιν
τῆς σῆς ἀληθείας· καὶ ἐν τῷ μέλ-
λοντι ζωὴν αἰώνιον χαριζόμενος:
Ἔτι καὶ ἔτι· Ἀντιλ. χ.· Τῆς Παναγ.· Ἐκφ.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις· καὶ:
Εὐχὴ τῆς εἰσόδου:—
Δέσποτα Κύριε ὁ θεὸς ἡμῶν, ὁ καταστήσας
ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέ-
λων καὶ ἀρχαγγέλων· εἰς λειτουργί-
αν τῆς σῆς δόξης· ποίησον σὺν τῇ εἰ-
σόδῳ ἡμῶν· εἴσοδον ἁγίων ἀγγέλων
γενέσθαι· συλλειτουργούντων ἡμῖν·
καὶ συνδοξολογούντων τὴν σὴν ἀγα-
θότητα:— Ἐκφ.:
Ὅτι πρέπει σοι πᾶσα δόξα... Ὁ πα. εἰ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν:—

Εὐχ(ὴ) τοῦ τρισα(γίου):—

Ὁ θεὸς ὁ ἅγιος· ὁ ἐν ἁγίοις ἀναπαυόμενος·
ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυ-
μνούμενος· καὶ ὑπὸ τῶν χερου-
βὶμ δοξολογούμενος· καὶ ὑπὸ πά-
σης ἐπουρανίου δυνάμεως προσκυνού-
μενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶ-
ναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας
τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν·
καὶ παντί σου χαρίσματι κατακοσ-
μήσας· καὶ διδοὺς αἰτοῦντι σοφίαν
καὶ σύνεσιν· καὶ μὴ παρορῶν ἁμαρ-
τάνοντα· ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ
μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς
ταπεινοὺς καὶ ἀναξίους δούλους σου
καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπι-
ον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου·
καὶ τὴν ὀφειλομένην σοι προσκύνη-
σιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς
δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος
ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον

ὕμνον· καὶ ὅσα ἔστι κεῖται ἐν τῇ χρηστό-
τητί σου· συγχώρησον ἡμῖν πᾶν
πλημμέλημα ἑκούσιόν τε καὶ ἀ-
κούσιον· φύλαξον ἡμῶν τὰς ψυχὰς καὶ
τὰ σώματα· καὶ δὸς ἡμῖν· ἐν ὁσιό-
τητι λατρεύειν σοι πάσας τὰς ἡμέ-
ρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς
ἁγίας θ(εοτό)κου· καὶ πάντων τῶν ἁγίων
τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων:—

Καὶ μετὰ τὸ εὐα(γγέλιον) λ(έγει) ὁ διάκ(ονος): Εἴπωμεν:—
Ἐξ ὅλης ψυχῆς· Κ(ύρι)ε παντοκράτορ:
Ὑπὲρ τοῦ ῥυσθῆναι:· Ἐλέησον ἡμᾶς ὁ θ(εό)ς:·

Εὐχὴ τῆς ἐκτενῆς:—

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· τὴν ἐκτενῆ ταύτην
ἱκεσίαν πρόσδεξαι παρὰ τῶν
σῶν δούλων· καὶ ἐλέησον ἡμᾶς
κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου·
καὶ τοὺς οἰκτιρμούς σου κατάπε-
μψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν
λαόν σου τὸν ἀπεκδεχόμενον τὸ
παρὰ σοῦ πλούσιον ἔλεος:—

Ἔτι ὑπὲρ τῶν εὐσεβεσ(τάτων)· Ὑπ(ὲρ) τοῦ δούλου τοῦ θ(εο)ῦ·
Ὑπ(ὲρ) τῶν ἡ προαπελθόντ(ων):— Ἐκφ(ώνησις)
Ὁ πελεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρ(χεις):—
Εὔξασθε οἱ κατηχούμενοι: Οἱ πιστοὶ ὑπὲρ:
Κατηχήσει αὐτούς: Ἀποκαλύψει αὐ(τοῖς):—
Ἑνώσει αὐτούς:· Σῶσον ἐλέησον
Οἱ κατηχούμενοι τὰς κεφαλὰς ἡμῶν:

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν
καὶ τὰ ταπεινὰ ἐφορῶν· ὁ σωτη-
ρίαν τοῦ γένους τῶν ἀνθρώπων
ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν
καὶ θ(εὸ)ν τὸν Κ(ύριο)ν ἡμῶν Ἰ(ησοῦ)ν Χ(ριστό)ν· ἐπίβλε-
ψον ἐπὶ τοὺς δούλους σου τοὺς κατη-
χουμένους τοὺς ὑποκεκλικότας
σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξί-
ωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ· τοῦ
λουτροῦ τῆς παλιγγενεσίας· τῆς
ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐν-
δύματος τῆς ἀφθαρσίας· ἕνωσον
αὐτοὺς· τῇ ἁγίᾳ σου καὶ ἀποστολικῇ
ἐκκλησίᾳ· καὶ συγκαταρίθμησον

αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ·—
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι·
Ὅσοι κατηχούμενοι· Οἱ κατηχούμενοι·
Ὅσοι κατηχούμενοι· Μή τις τῶν κατηχ(ουμένων)·—

Εὐχὴ πιστῶν α΄·—

Εὐχαριστοῦμέν σοι Κ(ύρι)ε ὁ Θ(εὸ)ς τῶν δυνά-
μεων· τῷ καταξιώσαντι ἡμᾶς
παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου
θυσιαστηρίῳ· καὶ προσπεσεῖν τοῖς
οἰκτιρμοῖς σου· ὑπὲρ τῶν ἡμετέ-
ρων ἁμαρτημάτων· καὶ τῶν τοῦ
λαοῦ ἀγνοημάτων· πρόσδεξαι ὁ Θ(εὸ)ς
τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς
ἀξίους γενέσθαι τοῦ προσφέρειν
σοι δεήσεις καὶ ἱκεσίας ἀναιμάκτους·
ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱ-
κάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν δια-
κονίαν σου ταύτην· ἐν τῇ δυνά-
μει τοῦ πν(εύματό)ς σου τοῦ ἁγίου· ἀκατακρί-
τως καὶ ἀπροσκόπως ἐν καθαρῷ τῷ
μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν

σοι καλλεῖσθαί σε ἐν παντὶ καιρῷ
καὶ τόπῳ, εἶναι εἰσακούων ἡμῶν·
ἵλεως ἔσῃ ἐν τῷ πλήθει τῆς σῆς
ἀγαθότητος :— ἀντιχ(α)· Σοφία·
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ:—
ἔτι καὶ ἔτι:· ὑπὲρ τῆς ἄνωθεν:· ὑπὲρ τῆς εἰρήνης·
ὑπὲρ τοῦ ἁγίου οἴκου· ὑπὲρ τοῦ ῥυσθῆναι:· ἔτι καὶ ἔτι:—

Εὐχὴ πιστῶν β:—

Πάλιν καὶ πολλάκις σοι προσπί-
πτομεν· καὶ σοῦ δεόμεθα ἀγαθὲ
καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας
ἐπὶ τὴν δέησιν ἡμῶν· καθαρίσεις
ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα·
ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς
καὶ πνεύματος, καὶ δώῃς ἡμῖν, ἀνένοχον
καὶ ἀκατάκριτον τὴν παράστασιν
τοῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δὲ
ὁ θεὸς καὶ τοῖς συνευχομένοις ἡμῖν,
προκοπὴν βίου καὶ πίστεως· καὶ
συνέσεως πνευματικῆς δὸς αὐτοῖς πάν-
τοτε· μετὰ φόβου καὶ ἀγάπης λα-

τρεύοντάς σοι, ἀμέμπτως καὶ ἀκα
τακρίτως, μετέχειν τῶν ἁγίων
σου μυστηρίων, καὶ τῆς ἐπουρανίου
βασιλείας ἀξιωθῆναι: —

ἡ πτχ᾽: Σοφία· Ἐκφ:

Ὅπως ὑπὸ τοῦ κράτους σου· πάντοτε φυλαττόμενοι:

Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς καθ᾽ ἑαυτὸν τοῦ χερουβικοῦ ᾀδομένου·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων·
ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδο
ναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν
ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης·
τὸ γὰρ διακονεῖν σοι μέγα, καὶ φοβε
ρὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνά
μεσιν· ἀλλ᾽ ὅμως, διὰ τὴν ἄφατον καὶ
ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως
καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος· καὶ ἀρ
χιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λει
τουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσί
ας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν,
ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ δεσ
πόζεις τῶν ἐπουρανίων καὶ ἐπιγείων

ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος·
ὁ τῶν σεραφὶμ κ(ύριο)ς καὶ βασιλεὺς τοῦ
Ἰ(σρα)ήλ· ὁ μόνος ἅγιος· καὶ ἐν ἁγίοις ἀνα-
παυόμενος· σὲ δυσωπῶ τὸν μό-
νον ἀγαθὸν καὶ ἐπήκοον· ἐπίβλεψον
ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖ-
ον δοῦλόν σου· καὶ ἱκάνωσόν με τῇ
δυνάμει τοῦ ἁγίου σου πν(εύματο)ς· ἐνδεδυ-
μένον τὴν τῆς ἱερατείας χάριν· παρα-
στῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ·
καὶ ἱερουργῆσαι τὸ ἄχραντόν σου σῶ-
μα καὶ τὸ τίμιον αἷμα· σοὶ γὰρ κλί-
νας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαι
σου· μὴ ἀποστρέψεις τὸ πρόσωπόν
σου ἀπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀ-
ναξίου δούλου σου· σὺ γὰρ εἶ ὁ προσ-
φέρων καὶ προσφερόμενος· ὁ
προσδεχόμενος· καὶ διαδιδόμενος·
Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμ-
πομεν σὺν τῷ ἀνάρχῳ σου π(ατ)ρί·
καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ

ῷ σου πνι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—

Πληρώσωμεν τὴν δέησιν· Ὑπὲρ τῶν προτεθέντων· Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου· Ὑπὲρ τοῦ ῥυσθῆναι:—

Εὐχὴ τῆς προσκομιδῆς, μετὰ τὸ ἐντεθῆναι ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν ἄρτων ἀποτιθεμένων:—

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· ὁ μόνος ἅγιος ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ· πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν· καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς· προσενεγκεῖν σοι δῶρα καὶ θυσίας πνικάς, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων· καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου τοῦ γενέσθαι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν· καὶ ἐπισκηνῶσαι τὸ πνα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα· καὶ ἐπὶ πάντα λαόν σου:—

ἀντὶ τοῦ χ(ερουβικοῦ)· Τὴν ἡμέραν· ἀπέλθοντες εἰρ(ήνη)·
Συστήσωμεν· Τὰ ἄλλα καί· Τὸν ὑπὸ πολ(ύ)·
Χριστιανά· Τῆς παναγίας· ἐκφώ(νησις)·
Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς:—
Ὁ ἱερεύς· Εἰρήνη πᾶσι· ὁ δ(ιά)κ(ονος)· ἀγαπήσωμεν·
Τὰς θύρας· ὁ χ(ορός)· Πιστεύω· ὁ δ(ιά)κ(ονος)·
Στῶμεν καλῶς· ὁ χ(ορός)· Ἔλεον εἰρ(ήνης)· ὁ (ἱερεύς)·
Ἡ χάρις τοῦ κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· καὶ ἡ ἀγά-
πη τοῦ θ(εο)ῦ καὶ π(ατ)ρ(ό)ς· καὶ ἡ κοινωνία
τοῦ ἁγ(ίου) πν(εύματο)ς εἴη μετὰ πάντων ὑμῶν:—
Καὶ μετὰ τοῦ πν(εύματό)ς σου· ὁ χ(ορός)· Ἄνω σχῶμεν·
Ὁ ἱερ(εύς)· Ἔχωμεν πρὸς τὸν κ(ύριο)ν· ὁ λαός·
Εὐχαριστήσωμεν τῷ κ(υρί)ῳ· ὁ ἱερ(εύς)·
Ἄξιον καὶ δίκαιον· ὁ λαός·
Ἄξιον καὶ δίκαιον· σὲ ὑμνεῖν· σὲ εὐ-
λογεῖν· σὲ αἰνεῖν· σοὶ εὐχαριστεῖν·
σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ
τῆς δεσποτείας σου· σὺ γὰρ εἶ θ(εό)ς·
ἀνέκφραστος· ἀπερινόητος· ἀό-
ρατος· ἀκατάληπτος· ἀεὶ ὤν·
ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου

σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ
τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς πα
ρήγαγες. καὶ παραπεσόντας ἀνέ
στησας πάλιν καὶ οὐκ ἀπέστης πάν
τα ποιῶν· ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν
ἀνήγαγες. καὶ τὴν βασιλείαν ἐχαρί
σω τὴν μέλλουσαν· ὑπὲρ τούτων ἁ
πάντων, εὐχαριστοῦμέν σοι καὶ τῷ
μονογενεῖ σου υἱῷ· καὶ τῷ πνεύματί σου
τῷ ἁγίῳ· ὑπὲρ πάντων ὧν ἴσμεν· καὶ
ὧν οὐκ ἴσμεν· τῶν φανερῶν καὶ ἀφα
νῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενη
μένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ
τῆς λειτουργίας ταύτης ἣν ἐκ τῶν
χειρῶν ἡμῶν δέξασθαι κατηξίω
σας. καίτοι σοι παρεστήκασι. χι
λιάδες ἀρχαγγέλων καὶ μυριάδες
ἀγγέλων. τὰ χερουβὶμ καὶ τὰ σερα
φίμ· ἑξαπτέρυγα πολυόμματα
μετάρσια πτερωτά: — ἐκφω

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα βοῶντα::

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακα
ρίων δυνάμεων· δέσποτα φιλάνθρωπε
βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ καὶ πα
νάγιος σὺ καὶ ὁ μονογενής σου υἱός·
καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ
πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα
σου· ὃς τὸν κόσμον σου οὕτως ἠγα
πήσας ὥστε τὸν υἱόν σου τὸν μο
νογενῆ δοῦναι· ἵνα πᾶς ὁ πιστεύων
εἰς αὐτὸν μὴ ἀπόληται· ἀλλ' ἔχει
ζωὴν αἰώνιον· ὃς ἐλθὼν καὶ πᾶ
σαν, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πλη
ρώσας· τῇ νυκτὶ ᾗ παρεδίδοτο·
μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ
τῆς τοῦ κόσμου ζωῆς· λαβὼν ἄρ
τον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράν
τοις καὶ ἀμωμήτοις χερσίν· εὐχαρι
στήσας, καὶ εὐλογήσας, κλάσας· ἔ
δωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ
ἀποστόλοις εἰπών:— ἐκφ(ώνως)
Λάβετε φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπ(ὲρ)·

μοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπν(ῆσαι):

Πίετε ἐξ αὐτοῦ πάντες τοῦτό ἐστι
τὸ αἷμά μου τὸ τῆς καινῆς διαθ(ήκης):—

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ἐν-
τολῆς καὶ πάντων τῶν ὑπὲρ
ἡμῶν γεγενημένων· τοῦ σταυροῦ· τοῦ
τάφου· τῆς τριημέρου ἀναστά-
σεως· τῆς εἰς οὐρανοὺς ἀναβάσε-
ως· τῆς ἐκ δεξιῶν καθέδρας· τῆς
δευτέρας καὶ ἐνδόξου πάλιν
παρουσίας:— Ἐκφώνη(σις):

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες:—

Ἔτι προσφέρομέν σοι τὴν λογι-
κὴν ταύτην καὶ ἀναίμακτον λατρεί-
αν· καὶ παρακαλοῦμεν καὶ δεό-
μεθα· καὶ ἱκετεύομεν, κατάπεμ-
ψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς
καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦ-
τα:— Καὶ ἀνιστάμενος σφρα-
γίζει περὶ τὸν ἅγιον ἄρτον:—

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶ-

τοῦ χ(ριστο)ῦ σου :· ὁ λ(αό)ς· ἀμήν :—
Τὸ δὲ ἐν τῷ ποτηρίῳ τοῦτο, τὸ αἷμα
τοῦ χ(ριστο)ῦ σου: ὁ λ(αό)ς, ἀμήν :—
Ὥστε γενέσθαι τοῖς μεταλαμβάνου-
σιν· εἰς νῆψιν ψυχῆς· εἰς ἄφεσιν
ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγί-
ου πνεύματος· εἰς βασιλείας οὐρανῶν,
κληρονομίαν· εἰς παρρησίαν τὴν
πρὸς σέ· μὴ εἰς κρίμα, ἢ εἰς κατά-
κριμα· ἔτι προσφέρομέν σοι τὴν
λογικὴν ταύτην λατρείαν, ὑπὲρ
τῶν ἐν πίστει ἀναπαυσαμένων· προ-
πατόρων· πατέρων· πατριαρχῶν· προ-
φητῶν· ἀποστόλων· κηρύκων,
εὐαγγελιστῶν, μαρτύρων· ὁμολογη-
τῶν, ἐγκρατευτῶν· καὶ παντὸς πν(εύματο)ς
ἐν πίστει τετελειωμένου :— ἐκφ(ώνησις)
Ἐξαιρέτως τῆς παναγίας ἀχράντου
ὑπερευλογημένης δεσποίνης ἡμῶν :—
ὁ λ(αό)ς, τὰ δίπτυχα τῶν κεκοιμημένων :—
Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προ-

δρόμου καὶ καταπαύσεως· τῶν ἁγίων καὶ
πανευφήμων ἀποστόλων· τοῦ ἁγί
ου τοῦ· οὗ καὶ τὴν μνήμην ἐπιτελοῦ
μεν· Καὶ πάντων τῶν ἁγίων σου· ὧν
ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός·
Καὶ μνήσθητι πάντων τῶν κεκοιμη
μένων ἐπ' ἐλπίδι ἀναστάσεως ζω
ῆς αἰωνίου· Καὶ ἀνάπαυσον αὐτούς· ὅπου
ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου
σου· Ἔτι παρακαλοῦμέν σε,
μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρ
θοδόξων τῶν ὀρθοτομούντων τὸν λό
γον τῆς σῆς ἀληθείας· παντὸς τοῦ
πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας·
Καὶ παντὸς ἱερατικοῦ τάγματος· Ἔ
τι προσφέρομέν σοι τὴν λογικὴν ταύ
την λατρείαν· ὑπὲρ τῆς οἰκουμένης·
ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστο
λικῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ
Καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ
τῶν πιστοτάτων καὶ φιλοχρίστων

ἡμῶν βασιλέων· παντὸς τοῦ παλα-
τίου καὶ τοῦ στρατοπέδου αὐτῶν·
δὸς αὐτοῖς κ(ύρι)ε· εἰρηνικὸ[ν] τὸ βα-
σίλειον· ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλή-
νῃ αὐτῶν· ἤρεμον καὶ ἡσύχιον βίον
διάγωμεν· ἐν πάσῃ εὐσεβείᾳ καὶ
σεμνότητι: — Ἐκφώ(νησις):
Ἐν πρώτοις μνήσθητι κ(ύρι)ε τοῦ ἐπισκ(όπου)
ἡμῶν τοῦ· ὃν χάρισαι ταῖς ἁγίαις σου
ἐκκλησίαις ἐν εἰρήνῃ σῶον ἔντιμον:
Δια(κονος)· τὰ δίπτυχ(α) τῶν ζώντων: —
Μνήσθητι κ(ύρι)ε κατὰ τὸ πλῆθος τῶν
οἰκτιρμῶν σου· καὶ τῆς ἐμῆς ἀνα-
ξιότητος συγχώρησόν μοι πᾶν πλη-
μμέλημα ἑκούσιόν τε καὶ ἀκού-
σιον· καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρ-
τίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου
σου πν(εύματο)ς· ἀπὸ τῶν προκειμένων
δώρων· μνήσθητι κ(ύρι)ε τῆς πόλεως
ἐν ᾗ παροικοῦμεν· καὶ πάσης πό-
λεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων

τῶν ἐν αὐταῖς. μνήσθητι κ(ύρι)ε πλεόν-
των. ὁδοιπορούντων. νοσούντων.
καὶ [...] καμνόντων. αἰχμαλώτων.
καὶ τῆς σελας αὐτῶν. μνήσθητι κ(ύρι)ε
τῶν καρποφορούντων καὶ καλλι-
εργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλη-
σίαις. καὶ μεμνημένων τῶν πενή-
των. καὶ ἐπὶ πάντας ἡμᾶς τὰ
ἐλέη σου ἐξαπόστειλον: — ἐκφ(ώνησις):
Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ
μιᾷ καρδίᾳ δοξάζειν καὶ:
Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θ(εο)ῦ καὶ
σ(ωτῆ)ρ(ο)ς ἡμῶν ἰ(ησο)ῦ χ(ριστο)ῦ μετὰ πάντων ἡμῶν:
Ὁ δ(ιά)κ(ονος). Πάντων τῶν ἁγ(ίων): Υπ(ὲρ) τῶν προσκο:
Ὁ π(ρὸς) σοφία: Ἀντιλαβοῦ: Υπ(ὲρ) τοῦ ῥυσθῆναι.
Ὁ δὲ ἱερεὺς ἐπεύχεται: —
Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν
ἅπασαν. καὶ τὴν ἐλπίδα δέσποτα
φιλάνθρωπε. καὶ παρακαλοῦμέν σε.
καὶ δεόμεθα καὶ ἱκετεύομεν.
καταξίωσον ἡμᾶς μεταλαβεῖν:

τῶν ὑπερουρανίων σου καὶ φρικτῶν μυ-
στηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματι-
κῆς τραπέζης· μετὰ καθαροῦ συ-
νειδότος· εἰς ἄφεσιν ἁμαρτιῶν· εἰς
συγχώρησιν πλημμελημάτων·
εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασι-
λείας οὐρανῶν κληρονομίαν· εἰς
παρρησίαν τὴν πρὸς σέ· μὴ εἰς κρί-
μα ἢ εἰς κατάκριμα:— ἦχ(ος) α':
Τὴν ἡμέραν:· Ἄγγελον εἰρ(ήνης)· Συγγνώμην·
Τὰ καλὰ καὶ:· Τὸν ὑπόλ(οιπον):· Χριστιανὰ·
Τὴν ἑνότητα τῆς πί(στεως):— Ἐκφών(ησις)
Καὶ καταξίωσον ἡμᾶς δέσποτα
μετὰ παρρησίας ἀκατακρίτως·
Ὁ λα(ός)· Πάτερ ἡμῶν:· Ὁ ἱερ(εύς)· Ὅτι σοῦ ἐστιν:·
Ὁ λα(ός)· Ἀμήν· Ὁ ἱερ(εύς)· Εἰρήνη πᾶσι:· Ὁ διάκ(ονος)·
Τὰς κεφαλὰς ἡμῶν:· Ὁ ἱερεὺς ἐπεύχε(ται)·
Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρα-
τε· ὅτι ἀμετρήτῳ σου δυνάμει
τὰ πάντα ἐδημιούργησας· καὶ
τῷ πλήθει τοῦ ἐλέους σου· ἐξ οὐ-

χόντων εἰς τὸ εἶναι τὰ σύμπαντα πα
ραγαγών· αὐτὸς δέσποτα ἔπι
δε οὐρανόθεν ἐπὶ τοὺς ὑποκεκλι
κότας σοι τὰς ἑαυτῶν κεφαλάς·
οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵμα
τι· ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ· σὺ
οὖν δέσποτα τὰ προκείμενα πᾶ
σιν ἡμῖν· εἰς ἀγαθὸν ἐξομάλισον·
κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν·
τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁ
δοιποροῦσι συνόδευσον· τοὺς νο
σοῦντας ἴασαι· ὁ ἰατρὸς τῶν ψυχῶν
καὶ τῶν σωμάτων: — ἐκφ(ώνησις)::
Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπί(ᾳ)· ου
Πρόσχες κ(ύρι)ε Ἰ(ησο)ῦ Χ(ριστ)ὲ ὁ θ(εὸ)ς ἡμῶν· ἐξ ἁγίου
κατοικητηρίου σου· καὶ ἀπὸ θρόνου
δόξης τῆς βασιλείας σου· καὶ ἐλ
θὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς· ὁ ἄνω τῷ
π(ατ)ρὶ συγκαθήμενος· καὶ ὧδε
ἡμῖν ἀοράτως συνών· καὶ καταξί
ωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦ

δοῦναι ἡμῖν τοῦ ἀχράντου σώμα-
τός σου καὶ τοῦ τιμίου αἵματος
καὶ δι᾽ ἡμῶν, παντὶ τῷ λαῷ: —
ὁ διάκ(ονος)· πρόσχωμεν· ὁ ἱερε(ύς): Τὰ ἅγ(ια) τοῖς· ὁ λα(ός)·
Εἷς ἅγ(ιος)· ὁ διάκ(ονος): Πλήρωσον: Καὶ λαμβάνων
ὁ ἱερε(ὺς) ἐκ τοῦ ἄρ(του) μερί(δα), βάλλει εἰς τὸ ποτ(ήριον)
λέ(γων)· Πλήρωμα πν(εύματο)ς ἁγ(ίου): ὁ διάκ(ονος) Ἀμήν, Καὶ
μετὰ τὸ μεταλα(βεῖν) πάντ(ας)· Ἐπεύχεται ὁ ἱερ(εύς)
Εὐχαριστοῦμέν σοι δέσποτα φιλάν(θρωπε)
εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ
παρούσῃ ἡμέρᾳ, κατηξίωσας ἡμᾶς
τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυ-
στηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁ-
δόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ
σου τοὺς πάντας· φρούρησον ἡμῶν
τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ
διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις·
τῆς ἁγίας ἐνδόξου θ(εοτό)κου καὶ ἀει-
παρθένου Μαρίας καὶ πάντων
τῶν ἁγίων σου: — Ἐκφ(ώνησις):
Πάντοτε νῦν καὶ ἀεί: ὁ διάκ(ονος): Ὀρθοὶ οἱ:

ἦχ πλ α΄ : Τὴν ἡμέραν ἀπ : Ἐκφ
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ :—

Εὐχὴ ὀπισθάμβωνος :—

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κε· καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας· σῶσον τὸν λαόν σου· καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει· καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι· ταῖς ἐκκλησίαις σου· τοῖς ἱερεῦσι· τοῖς βασιλεῦσιν ἡμῶν· τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ· ὅτι πᾶσα δόσις ἀγαθὴ· καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι· καταβαῖνον ἐκ σοῦ τοῦ πρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκυ-

μὴ στιμάμανωσε μύσομεν· τῶ πρ͞ι καὶ
τῶ υἱῶ καὶ τῶ ἁγίω πν͞ι· νῦν καὶ ἀ-
ει καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—
Η ἀρχὴ τὸ πλήρωμα τοῦ νόμου καὶ
τῶν προφητῶν· αὐτὸς ὑπάρχεις
χ͞ε ὁ θ͞ς ἡμῶν· ὁ πληρώσας πᾶσαν
πρ͞ς οἰκονομίαν· πλήρωσον
χαρᾶς καὶ εὐφροσύνης τὰς καρδί-
ας ἡμῶν· πάντοτε νῦν καὶ ἀεὶ·
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:—

## Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΗΜΕΡΑ ΜΕΤΑ ΤΟ ΕΥΤΟΝ ΗΓ:

ἀρχὴ ψάλλειν δεῦ προσκυ͞ν· εὐχὴ
τῆς εὐχῆς τοῦ ἤχου· ὁ ἱερεὺς εὔχεται λέγων:—
Κ ἐοικτίρμον καὶ ἐλεῆμον· μα-

χρόθυμε καὶ πολυέλεε· ἐνώτησαι
τὴν προσευχὴν ἡμῶν· καὶ πρόσχες
τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποί-
ησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁ-
δήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου· τοῦ πο-
ρεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον
τὰς καρδίας ἡμῶν· εἰς τὸ φοβεῖσ-
θαι τὸ ὄνομα τὸ ἅγιόν σου· διότι μέ-
γας εἶ καὶ ποιῶν θαυμάσια· σὺ εἶ
θεὸς μέγας· καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν
θεοῖς κύριε· δυνατὸς ἐν ἐλέει καὶ ἀ-
γαθὸς ἐν ἰσχύϊ· εἰς τὸ βοηθεῖν καὶ πα-
ρακαλεῖν· καὶ σώζειν πάντας τοὺς
ἐλπίζοντας εἰς τὸ ὄνομα τὸ ἅγιόν σου:
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις
εὐχὴ ἀπὸ φωτὸς β
Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς· μη-
δὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς ἀλλὰ
ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιεική-
άν σου· ἰατρὲ καὶ θεραπευτὰ τῶν
ψυχῶν ἡμῶν· εἰς ἐπίγνωσιν τῆς

σῆς ἀληθείας· ὁδήγησον συμβουλῇ μεγάθου θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν· καὶ δώρησαι ἡμῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον· καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας θ(εοτό)κου καὶ πάντων τῶν ἁγίων σου:

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασι(λεία):

Εὐχ(ὴ) ἀντιφ(ώνου) γ´:—

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου· ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσκυνητὸν ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν κ(ύρι)ε· πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε· ἐξ ὅλης τῆς καρδίας ἡμῶν· καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου:—

Ἐκφών(ησις)

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος· θεὸς ὑπάρχεις καὶ σοί:·

Καὶ εὐθὺς τὸ πληρῶσαι τοῦ ψάλλειν λέγει ὁ διάκονος:—

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:· Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης

Ὑπὲρ τῆς εἰρήνης τοῦ:· Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου:

Ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν:· Ὑπὲρ τῶν εὐσεβεστάτων:

Ὑπὲρ τοῦ συμπολεμῆσαι:· Ὑπὲρ τῆς πόλεως ἡμῶν·

Ὑπὲρ εὐκρασίας ἀέρων:· Ὑπὲρ πλεόντων ὁδοιπορούντων·

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς:· Ἀντιλαβοῦ σῶσον ἐλέησον·

Τῆς παναγίας ἀχράντου:· Καὶ εὐθὺς τὸ Κύριε ἐκέκραξα:

Τὰ στιχηρά· Τὰ ἀναγνώσματα· Καὶ τὸ Κατευθυνθήτω· Καὶ λέγει ὁ διάκονος· Εἴπωμεν πάντες·

Ἐξ ὅλης ψυχῆς: Κύριε παντοκράτωρ:· Ὑπὲρ τοῦ ῥυσθῆναι·

Ἐλέησον ἡμᾶς· Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχήν:

Κύριε ὁ θεὸς ἡμῶν· τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων· καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς· καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος:·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις· καὶ σοί:

Εὔξασθε οἱ κατηχούμενοι· Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων· Κατηχήσει αὐτούς·
Ἀποκαλύψει· Ἑνώσει αὐτούς· Σῶσον ἐλέησον·
Οἱ κατηχούμενοι· Εὐχὴ κατηχουμένων ἐπὶ τῆς προηγιασμένης·

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουρ-
γὸς τῶν ἁπάντων· ὁ πάντας θέλων
σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθεί-
ας ἐλθεῖν· ἐπίβλεψον ἐπὶ τοὺς δού-
λους σου τοὺς κατηχουμένους καὶ
λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλά-
νης καὶ μεθοδείας τοῦ ἀντικειμένου·
καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν αἰώ-
νιον ζωήν, φωτίζων αὐτῶν τὰς ψυ-
χὰς καὶ τὰ σώματα· καὶ συγκαταρι-
θμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ,
ἐφ᾽ ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται:

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι:
Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι:
Λέγεται δὲ ἀπὸ τῆς δ΄ τῆς μεσονηστίμου ἕως τῆς
μεγάλης παρασκευῆς:
Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε·
Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε· Εὔξασθε οἱ πιστοί

Ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων
ἀδελφῶν ἡμῶν· καὶ τῆς σωτηρίας αὐτῶν:
Ὅπως Χριστὸς ὁ Θεὸς ἡμῶν στηρίξει αὐτοὺς καὶ ἐν:
Φωτίσει αὐτοὺς φωτισμὸν γνώσεως:
Ἀναγεννήσει αὐτοὺς δι᾽ ὕδατος καὶ πνεύματος:
Χαρίσει αὐτοῖς τὴν τελειότητα τῆς πίστεως:
Συγκαταριθμήσει αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ
ἐκλεκτῇ ποίμνῃ:
Φώτισον ἐλέησον διαφύλαξον ὁ Θεὸς τῇ σῇ χάρι-
τι. Οἱ πρὸς τὸ φώτισμα τὰς κεφαλάς:-
Εὐχὴ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζο-
μένων· γίνεται δὲ ἀπὸ τῆς δ'
τῆς μέσης ἑβδομάδος τῶν νηστειῶν:
Ἐπίφανον δέσποτα τὸ πρόσωπόν
σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα
εὐτρεπιζομένους· καὶ ἐπιποθοῦντας
τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀπο-
τινάξασθαι· καταύγασον αὐτῶν τὴν
διάνοιαν· καὶ βεβαίωσον αὐτοὺς ἐν
τῇ ὀρθοδόξῳ πίστει· στήριξον ἐν ἐλπί-
δι· τελείωσον ἐν ἀγάπῃ· μέλη τί·

ματος τοῦ Χριστοῦ ἀναδείξομεν· τοῦ δόντος ἑαυ-
τὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν: ἐκφ(ώνως)
Ὅτι σὺ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν
Ὅσοι πρὸς τὸ φωτισθῆναι προέλθετε· οἱ πρὸς
τὸ φωτισθῆναι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε:

Εὐχὴ πιστῶν α´:—

Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός· ὁ τῷ ζωοποι-
ῷ τοῦ Χριστοῦ σου θανάτῳ· εἰς ἀφθαρσίαν
ἡμᾶς ἐκ φθορᾶς μεταστήσας· σὺ
πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπα-
θοῦς νεκρώσεως ἐλευθέρωσον· ἀγαθὸν
ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν
ἐπιστήσας· καὶ ὁ ὀφθαλμὸς μὲν
ἀμέτοχος ἔστω παντὸς πονηροῦ βλέ-
μματος· ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνε-
πίβατος· ἡ δὲ γλῶσσα καθαρευέτω
ῥημάτων ἀπρεπῶν· ἅγνισον δὲ ἡμῶν
καὶ τὰ χείλη τὰ αἰνοῦντά σε Κύριε· τὰς χεῖ-
ρας ἡμῶν ποίησον, τῶν μὲν φαύλων
ἀπέχεσθαι πράξεων· ἐνεργεῖν δὲ
μόνα τὰ σοὶ ἀρεστά· πάντα ἡμῶν

τὰ μέλη· καὶ τὴν διάνοιαν· τῇ σῇ κατα-
σφαλιζόμενος χάριτι:–

Ἀντιλαβοῦ· Σοφία· Ἐκφώνησις:

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις:

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ· Ὑπὲρ τῆς εἰρήνης· Ὑπὲρ τοῦ ἁγίου οἴκου:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς: Εὐχὴ πιστῶν β΄:

Δέσποτα ἅγιε ὑπεράγαθε, δυσωποῦ-
μέν σε τὸν ἐν ἐλέει πλούσιον· ἵλεων
γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς·
καὶ ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑπο-
δοχῆς τοῦ μονογενοῦς σου υἱοῦ, καὶ θεοῦ
ἡμῶν τοῦ βασιλέως τῆς δόξης· ἰδοὺ
γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα καὶ ζωο-
ποιὸν αὐτοῦ αἷμα, κατὰ τὴν παροῦ-
σαν ὥραν εἰσπορευόμενα τῇ μυστικῇ
ταύτῃ μέλλει προτίθεσθαι τραπέζῃ·
ὑπὸ πλήθους στρατιᾶς οὐρανίου· ἀορά-
τως δορυφορούμενα· ὧν τὴν μετά-
ληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵ-
να δι' αὐτῶν· τὸ τῆς διανοίας ὄμμα κα-
ταυγαζόμενοι· υἱοὶ φωτὸς καὶ ἡμέ-

ἐπευχόμενοι:— αἴτησις χ(ορὸς)· σοφία· ἐκφώ(νως)·

Κατὰ τὰ τῆς δωρεᾶς τοῦ Χ(ριστο)ῦ σου μεθ' οὗ:—

Εὐχὴν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτὸν τοῦ εἰσερχομένου τῶν ἁγίων δώρων ἐν τῇ ἁγίᾳ τραπέζῃ:—

Θεὲ πατέρων καὶ Κ(ύρι)ε τοῦ ἐλέους ὁ ποιήσας τὰ πάντα τῷ λόγῳ σου· καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄν(θρωπ)ον ἵνα δεσπόζει τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων· καὶ διέπει τὸν κόσμον ἐν ὁσιότητι καὶ ἐν εὐθύτητι καὶ δικαιοσύνῃ καὶ κρίσιν κρίνει· ἀλλὰ δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν· καὶ μὴ ἀποδοκιμάσεις με ἐκ παίδων σου· ἀλλ' ἀξίωσόν με προσενεχθῆναί σοι· δι' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀναξίου δούλου σου τὰ προκείμενα δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος· ὁ δεχόμενος καὶ διαδιδόμενος Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

θεὲ ἡμῶν ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον
καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον
εἰς ὀσμὴν εὐωδίας πνευματικῆς ἀντικαταπέμψ

ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ

Πλήρωσον· τῶν προσκο· ὁ Δ σοφία·
Ἀντιλαβοῦ κατά· τοῦ ἁγίου οἴκου· τοῦ ῥυσθῆναι·
τοῦ ἀρρήτου καὶ ἀθεάτου μυστηρίων
θεός· παρ' οὗ οἱ θησαυροὶ τῆς σοφίας καὶ
τῆς γνώσεως ἀπόκρυφοι· ὁ τὴν διακο
νίαν τῆς λειτουργίας ταύτης ἀποκα
λύψας ἡμῖν· καὶ θέμενος ἡμᾶς τοὺς
ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπί
αν· εἰς τὸ προσφέρειν σοι δῶρά τε
καὶ θυσίας ὑπὲρ τῶν ἰδίων ἁμαρτη
μάτων· καὶ τῶν τοῦ λαοῦ ἀγνοημά
των· αὐτὸς ἀόρατε βασιλεῦ· ὁ ποιῶν
μεγάλα καὶ ἀνεξιχνίαστα· ἔνδο
ξά τε καὶ ἐξαίσια· ὧν οὐκ ἔστιν ἀριθμός·
ἔφιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δού
λους σου· τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρί
ῳ· ὡς τῷ χερουβικῷ σου παρισταμέ
νους θρόνῳ· ἐφ' ᾧ ὁ μονογενής σου υἱὸς
καὶ θεὸς ἡμῶν διὰ τῶν προκειμένων
φρικτῶν ἐπαναπαύεται μυστηρίων·
καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λα

ὧν ἐλευθερώσας ἀκαθαρσίας· ἁγία-
σον ἡμῶν πάντων τὰς ψυχὰς καὶ τὰ
σώματα· ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα
ἐν καθαρῷ συνειδότι· ἀνεπαισχύν-
τῳ προσώπῳ· πεφωτισμένῃ καρ-
δίᾳ· τῶν θείων τούτων μεταλαμβά-
νοντες ἁγιασμάτων καὶ ζωο-
ποιούμενοι· ἑνωθῶμεν αὐτῷ τῷ χῷ
σου· τῷ εἰπόντι ἀληθινῷ ἡμῶν θεῷ· ὁ
τρώγων μου τὴν σάρκα· καὶ πίνων
μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ
ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπε-
ριπατοῦντος τοῦ λόγου σου κε· γενώμε-
θα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ
σου πνς· λελυτρωμένοι δὲ πάσης δια-
βολικῆς ἐνεργείας· ἐν πράξει· ἢ λό-
γῳ· ἢ κατὰ διάνοιαν ἐνεργουμένης·
καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἀγα-
θῶν· σὺν πᾶσι τοῖς ἁγίοις· τοῖς ἀπ' αἰῶνος
σοι εὐαρεστήσασιν: — Ἀντι τῷ χῷ· Τὴν κεφ πρ'
Ἄγγελον εἰρήνης· Συγχώρ· Τὰ καλὰ: Τὸν ὑπόλ··

τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνς
αἰτησάμενοι ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶ
σαν τὴν ζωὴν ἡμῶν Χῷ τῷ θῷ παραθώμεθα:

Χριστιανά. Τὴν ἑνότητα: Δέσπο

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρη

ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον θν πρα καὶ λέγειν·

Χᾶ. Πάτερ ἡμῶν. Ὁ ἱερε. Εἰρήνη πᾶσι:

Τὰς κεφαλὰς ἡμῶν τῷ κῶ:

Θεὲ ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος·
ὁ ἐν ὑψηλοῖς κατοικῶν· καὶ τὰ τα
πεινὰ ἐφορῶν· ἐπίδε εὐσπλα
γχνω ὄμματι ἐπὶ πάντα τὸν λα
όν σου· καὶ φύλαξον αὐτόν· καὶ ἀ
ξίωσον πάντας ἡμᾶς· ἀκατα
κρίτως μετασχεῖν τῶν ζωοποι
ῶν σου μυστηρίων· σοὶ γὰρ τὰς ἑαυ
τῶν ὑπεκλίναμεν κεφαλάς· ἀ
πεκδεχόμενοι τὸ παρὰ σοῦ πλού
σιον ἔλεος:— Ἐκφω.

τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ ... ζωοποιῷ

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρ

Πρόσχες Χε ὁ θς ἡμῶν, ἐξ ἁγίου κα·
Πρόσχωμεν: Τὰ προηγιασμένα ἅγια:—

Εὐχὴ μετὰ τὸ μεταλαβεῖν.

Εὐχαριστοῦμέν σοι τῷ σωτῆρι τῶν ὅλων
θεῷ· ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν

γαθοῖς· καὶ δὸς τῇ μεταλήψει τοῦ ἁγί-
σώματος καὶ αἵματος τοῦ Χ(ριστο)ῦ σου· καὶ
δεόμεθά σου δέσποτα φιλάνθρωπε· φύλα-
ξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτε-
ρύγων σου· καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσ-
χάτης ἀναπνοῆς· ἐπαξίως μετέ-
χειν τῶν ἁγιασμάτων σου· εἰς φωτισ-
μὸν ψυχῆς καὶ σώματος· εἰς βασιλεί-
ας οὐρανῶν κληρονομίαν:—

Ὀρθοὶ μετὰ τ(ῶν) χ(ορῶν) α'· ἦ(χος) τ(ῶν) χ(ορῶν) α'· Τῇ ἡ(μέρᾳ) ἐστ(ίν)· πγ' /α'
Ὅπως σοι ὁ ἁγιασμὸς ἦ:— Εὐχ(ὴ) ὀπισθάμβω(νος)·

Δέσποτα Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν· ὁ πᾶσαν
τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας·
ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ
πολλὴν ἀγαθότητα· ἀγαγὼν ἡμᾶς
εἰς τὰς πανσέπτους ἡμέρας ταύ-
τας· πρὸς καθαρισμὸν ψυχῶν
καὶ σωμάτων· πρὸς ἰατρείαν ψυ-
χῶν· πρὸς ἐγκράτειαν παθῶν·
πρὸς ἐλπίδα ἀναστάσεως· ὁ δι-
ὰ τῶν τεσσαράκοντα ἡμερῶν

πολλὰ καὶ χειρίσας τοῦ θεοῦ χαρακτα
γράμματα τοῦ θεράποντός σου μω
σῆ· παραδόξου καὶ ἡμῖν ἄραι θέ· τὸν
ἐχθρὸν ματαιον χαλὸν ἀφανίσασθαι· τὸν
δρόμον τῆς νηστείας ἐκτελέσαι·
τὴν ποίησιν ἀδιαίρετον φυλάξαι·
καὶ τὰς κεφαλὰς τῶν ἀοράτων
δρακόντων συνθλάσαι· νικητὰς
τε τῆς ἁμαρτίας ἀναφανῆναι·
καὶ ἀκατακρίτως φθάσομεν προσ
ἐκφ(ώνως) κυνῆσαι καὶ τὴν ἁγίαν σου ἀνάστασιν:

Ὅτι πάλιν ὑπάρχει τὸ ὅμοιον ...
Εὐχὴ ἐπὶ τῷ σκεύει φυλακίῳ:

Ἐκ δυνάμεως εἰς δύναμιν πορευό
μενοι· καὶ ἀπὸ σοῦ εἰς σὲ καταφεύ
γοντες· ἀναμένομεν τὴν βασιλείαν
σου Χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δό
ξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ
τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι:

Εὐχὴ ἑτέρα λεγομένη καὶ αὐτὴ
ἐπὶ τῷ σκεύει φυλακίῳ:

Ἀπὸ τῶν ἔργων εἰς ἔργα πορευόμε-
νοι ἡμεῖς οἱ ἁμαρτωλοὶ Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς· πρὸ(ς)
σὲ καταφεύγομεν· ὑπὸ σοῦ ἁγι-
αζόμενοι· καὶ σοὶ τὴν δόξαν ἀ-
ναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ
τῷ ἁγίῳ πν(εύματ)ι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἀμήν:—

Εὐχὴ ἀντιφώνου α´:

Κ(ύρι)ε οἰτείρμων καὶ ἐλεήμων· μακρό-
θυμε καὶ πολυέλεε· ἐνώτισαι
τὴν προσευχὴν ἡμῶν καὶ πρόσ-
χες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν·
ποίησον μεθ' ἡμῶν σημεῖον εἰς
ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου
τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου·
εὔφρανον τὰς καρδίας ἡμῶν εἰς
τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον·

δ' ὅτι μέγας εἶ σύ· καὶ ποιῶν θαυ-
μάσια· σὺ εἶ θεὸς μόνος· καὶ οὐκ ἔ-
στιν ὅμοιός σοι ἐν θεοῖς Κύριε· δυνατὸς
ἐν ἐλέει· καὶ ἀγαθὸς ἐν ἰσχύϊ· εἰς
τὸ βοηθεῖν καὶ παρακαλεῖν· καὶ
ἐλεεῖν καὶ σῴζειν πάντας τοὺς ἐλ-
πίζοντας εἰς τὸ ὄνομα τὸ ἅγιόν σου:

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκ(ύνησις):

Εὐχὴ ἀντιφώνου β:

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς·
μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς·
ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐ-
πιείκειάν σου· ἰατρὲ καὶ θεραπευ-
τὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡ-
μᾶς ἐπὶ λιμένα θελήματός σου·
φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρ-
διῶν ἡμῶν· εἰς ἐπίγνωσιν τῆς σῆς
ἀληθείας· καὶ δώρησαι ἡμῖν· τὸ λοι-
πὸν τῆς παρούσης ἡμέρας· εἰρη-
νικὸν καὶ ἀναμάρτητον· καὶ πάν-
τα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσ-

μείαις τῆς ἁγίας θκου· καὶ πάντων τῶν ἁγίων σου:— Ἐκφ(ώνησις)

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ:-

Εὐχ(ὴ) ἀντιφ(ώνου) δ΄:

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις· καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων δυνάμεων προσκυνούμενος· πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου· τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας θκου καὶ πάντων τῶν ἁγίων σου:— Ἐκφ(ώνησις)

Ὅτι πρέπει σοι πᾶσα δόξα· τιμὴ καί.

Εὐχ(ὴ) ἀντιφ(ώνου) ε΄:-

Εὐλογητὸς εἶ Κε ὁ θεὸς ὁ παντοκράτωρ· ὁ διαταξάμενος τὸν νοῦν τῶν ἀνθρώπων· ὁ εἰδὼς ὧν χρείαν ἔχομεν ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν·

αὐτὸς φιλάνθρωπε βασιλεῦ καὶ καταπαυ-
σαι φάρθε·· ἵνα καὶ ὡς σὺν ἡμᾶς ἐν τῷ πλή-
θει τῶν ἐν τῷ λαῷ σου, ἀμβοᾶν ἀξίω-
σως εἰδότι ἐπικαλεῖσθαι τὸ ἅγιον ὄνομά
σου· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πει-
ρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πο-
νηροῦ· καὶ πάντα τὰ πρὸς τὸ συμφέρον
οἰκονόμησον:— ἐκφώνησις.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασι(λεία):

Εὐχ(ὴ) ἀπὸ τῆς φ(ωνῆς) γ:

Κ(ύρι)ε Χ(ριστ)ὲ· ὁ τὴν ἄχραντόν σου δύναμιν συνέ-
χων τὰς ψυχὰς πάντων· ὁ μακροθυμῶν
ἐπὶ τοῖς πταίσμασιν ἡμῶν· καὶ μεταμελόμενος ἐπὶ ταῖς
κακίαις ἡμῶν· καὶ μακρύνων ἀφ' ἡμῶν
τὰς ἀνομίας ἡμῶν· μνήσθητι τῶν οἰκτιρ-
μῶν σου καὶ τὰ ἐλέη σου· καὶ ἐπίσκεψαι
ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν δια-
φυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέ-
ρας· ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχα-
νημάτων· καὶ ἀνεπιβούλευτον τὴν ζωὴν
ἡμῶν διαφύλαξον τῇ χάριτι τοῦ ἁγίου
σου πν(εύματο)ς:

ἐκφ(ώνησις)

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς—

Εὐχ(ὴ) ἀντιφ(ώνου) ζ΄

Ὁ Θ(εὸ)ς ὁ μέγας καὶ θαυμαστός· ὁ ἀνε
κδιηγήτῳ ἀγαθότητι καὶ πλουσίᾳ
προνοίᾳ διοικῶν τὴν τῶν ἁπάντων βιο
τήν· ὁ καὶ τὰ ἐγκόσμια ἡμῖν ἀγαθὰ
δωρησάμενος· καὶ κατεγγυήσας ἡμῖν
τὴν βασιλείαν διὰ τῶν ἤδη κεχαρισμέ
νων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς τῆς σή
μερον ἡμέρας τὸ παρελθὸν μέρος·
ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ· δώ
ρησαι ἡμῖν καὶ τὸ λοιπόν· ἀμέμπτως
ἐκτελέσαι ἐνώπιον τῆς ἁγίας δό
ξης σου· ὑμνεῖν σε τὸν ἀγαθὸν καὶ
φιλάνθρωπον Θ(εὸ)ν ἡμῶν:— ἐκφ(ώνησις)
Ὅτι ἐλεήμων καὶ φιλ(άνθρωπος) Θ(εὸ)ς ὑπάρχεις:—

Εὐχ(ὴ) ἀντιφ(ώνου) η΄ πρὸ τοῦ Κ(ύρι)ε ἐκέκρα(ξα)

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας,
αἰνοῦμεν· εὐλογοῦμεν· εὐχαριστοῦ
μεν· καὶ δεόμεθά σου δέσποτα
τῶν ἁπάντων· κατεύθυνον τὴν προσ

ς εὐχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπι-
όν σου· καὶ μὴ ἐκκλίνῃς τὰς καρδί-
ας ἡμῶν εἰς λόγους πονηρίας· ἀλλὰ
ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόν-
των τὰς ψυχὰς ἡμῶν· καὶ ἐπὶ σοὶ ἠλ-
πίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς ὁ θ(εὸ)ς
ἐκφ ἡμῶν: — Ὅτι πρέπει σοι πᾶσα δό(ξα):
θ Εὐλογητὸς εἶ Δέσποτα παντοκράτορ·
ὁ φωτίσας τὴν ἡμέραν· τῷ φωτὶ
τῷ ἡλιακῷ· καὶ τὴν νύκταν φαιδρύ-
νας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆ-
κος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξι-
ώσας· καὶ προσεγγίσαι ταῖς ἀρχαῖς
τῆς νυκτός· εἰσάκουσον τῆς δεήσεως
ἡμῶν· καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶ-
σιν ἡμῖν συγχωρήσας· τὰ ἑκούσια καὶ
τὰ ἀκούσια ἁμαρτήματα· πρόσδεξαι
τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας· καὶ κα-
τάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου·
ἐπὶ τὴν κληρονομίαν σου· τείχισον
ἡμᾶς ἁγίοις ἀγγέλοις· ὅπλισον ἡμᾶς

ὅπλοις δικαιοσύνης· περιχαρά-
κωσον ἡμᾶς ἐν τῇ ἀληθείᾳ σου· φρού-
ρησον ἡμᾶς τῇ δυνάμει σου· ῥῦσαι ἀπὸ
πάσης περιστάσεως· καὶ πάσης ἐπι-
βουλῆς ἀντικειμένου· παράσχου δὲ
ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν
τῇ ἐπερχομένῃ νυκτί· ἀναμάρτητον,
ἀσκανδάλιστον· ἀφάνταστον· καὶ πά-
σας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσ-
βείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁ-
γίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάν-
των: — Σοὶ γάρ ἐστι τὸ ἐλεεῖν καί: —

εὐχ(ὴ) ἀντιφ(ώνου) β'· ἐπὶ τῷ [illegible] ὁ μονογενὴς υἱ[illegible]

Κ(ύρι)ε ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς
βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡ-
μᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκό-
τει διαπορευομένου· πρόσδεξαι θυ-
σίαν ἑσπερινήν, τὰς τῶν χειρῶν ἡμῶν
ἐπάρσεις· καὶ ἀξίωσον δὲ ἡμᾶς καὶ
τὸν νυκτερινὸν δρόμον ἀμέμπτως δι-
ελθεῖν ἀπειράστους κακῶν· καὶ λύτρω-

σαι ἡμᾶς πάσης ταραχῆς καὶ δειλί-
ας ἐκ τῆς τοῦ διαβόλου ἡμῖν προσγι-
νομένης· χάρισαι ταῖς ψυχαῖς ἡμῶν
κατάνυξιν· καὶ τοῖς λογισμοῖς ἡμῶν
μέριμναν· τῆς ἐν τῇ φοβερᾷ καὶ δι-
καίᾳ σου κρίσει ἐξετάσεως· καθήλωσον
ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν
καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐ-
πὶ τῆς γῆς· ἵνα καὶ ἐν τῇ καθ᾽ ὕπνον ἡ-
συχίᾳ· ἐφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν
κριμάτων σου· ἀπόστησον ἀφ᾽ ἡμῶν
πᾶσαν ἀπρεπεῖν καὶ ἐπιθυμίαν βλα-
βεράν· διανάστησον δὲ ἡμᾶς ἐν τῷ
καιρῷ τῆς προσευχῆς σου· ἐστηριγμένους
ἐν τῇ πίστει καὶ προκόπτοντας ἐν τοῖς
παραγγέλμασί σου εὐδοκίᾳ καὶ ἀγαθότητι:

εὐχ(ὴ) τοῦ τρισαγ(ίου) ια

Θ(εὸ)ς ὁ μέγας ὁ αἰώνιος· ὁ ἅγιος καὶ φιλάν(θρωπ)ος·
ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ
ὥρᾳ στῆναι κατενώπιον τῆς ἀπροσί-
του σου δόξης· εἰς ὕμνον καὶ αἶνον

τῶν θαυμασίων σου· ἱλάσθητι ἡμῖν
τοῖς ἀναξίοις δούλοις σου· καὶ πα-
ράσχου χάριν τοῦ μετὰ συντετριμμέ-
νης καρδίας ἀμετεωρίστως προσενέ-
γκαι σοι τὴν τελείαν δοξολογίαν· καὶ
τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν·
ὧν ἐποίησας καὶ ποιεῖς πάντοτε εἰς
ἡμᾶς· μνήσθητι κ(ύρι)ε τῆς ἀσθενείας ἡμῶν·
καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομί-
αις ἡμῶν· ἀλλὰ ποίησον μέγα ἔλεος· με-
τὰ τῆς ταπεινώσεως ἡμῶν· ἵνα τὸ τῆς
ἁμαρτίας ἡμῶν σκότος διαφεύγοντες·
ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσω-
μεν· καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτ(ός)·
ἀνεπιβούλευτοι διατελέσωμεν ἀπὸ
πάσης ἐπιβουλῆς τοῦ πονηροῦ· καὶ με-
τὰ παρρησίας δοξάζωμεν ἐπὶ πᾶσιν·
σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον:—
Ὅτι ἅγιος εἶ ὁ θ(εὸ)ς ἡμῶν καὶ σοὶ τὴν δ(όξαν):—

Ὁ θ(εὸ)ς ὁ τῶν κρυπτῶν γνώστης· ὁ εἰδὼς τὰ

πῶσαν τὰ πάντα πρὶν γενέσεως
αὐτῶν· ὁ μὴ βουλόμενος τὸν θάνα-
τον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι
καὶ ζῆν αὐτόν· αὐτὸς οὖν ἔπιδε ἐξ ἑ-
τοίμου κατοικητηρίου σου ἐπὶ τοὺς δού-
λους σου τοὺς κατηχουμένους· διά-
νοιξον τὰ ὦτα τῶν καρδιῶν αὐτῶν,
πρὸς τὸ εἰσδέξασθαι τὸ μυστήριον
τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν.
ἀναγέννησον αὐτοὺς δι' ὕδατος καὶ
πνεύματος· εἰς τὴν αἰώνιόν σου βασιλείαν:
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζου:

Κύριε ὁ θεὸς ἡμῶν, καὶ νῦν προσερχόμεθα
ἐν ὅλῃ καρδίᾳ· καὶ ἐπικαλούμεθα τὸ
ὄνομα τὸ ἅγιόν σου· καὶ εὐχαριστοῦμέν
σοι τῷ διαφυλάξαντι ἡμᾶς τὸ μῆκος
τῆς ἡμέρας· καὶ ἀγαγόντι εἰς τὸ ἑσπερινὸν
φῶς· καὶ δεόμεθά σου· δὸς ἡμῖν διελ-
θεῖν ἀμέμπτως· καὶ τὴν παροῦσαν
ἑσπέραν σὺν τῇ ἐπερχομένῃ νυκτί

καὶ πάντα τὸν χρόνον τῆς παροικίας
ἡμῶν. ἔνδυσον ἡμᾶς τὴν πανοπλίαν
τοῦ φόβου σου πρὸς κατὰ τῶν δυνάμεων τῆς πο-
νηρίας· καὶ κατὰ τῶν παθῶν τῆς σαρ-
κός· ὅπως ἀμαρ[illegible] ἀσφαλῶς ἐπιτύχωμεν καὶ
τῆς αἰωνίου βασιλείας ἀξιωθῶμεν:—
ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν.—

Εὐχὴ τῆς ἀποχ[illegible] ος εβδ ν

Θεὸς ὁ μέγας καὶ ἅγιος· ὁ μόνος ἔχων
ἀθανασίαν· φῶς οἰκῶν ἀπρόσιτον·
ὁ πᾶσαν κτίσιν ἐν σοφίᾳ δημιουργή-
σας· ὁ διαχωρίσας ἀνὰ μέσον τοῦ φωτός·
καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν
τῆς ἡμέρας· σελήνην δὲ καὶ τοὺς ἀστέρας
εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας
ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἐν τῇ παρού-
σῃ ὥρᾳ προφθάσαι τὸ πρόσωπόν σου
ἐν ἐξομολογήσει· καὶ τὴν ἑσπερινήν σοι
λατρείαν προσάγειν· αὐτὸς φιλάνθρωπε·
κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυ-
μίαμα ἐνώπιόν σου· καὶ πρόσδεξαι

τὴν εἰς ὀσμὴν εὐοδίας· παράσχου
δὲ ἡμῖν τὴν ἑσπέραν καὶ τὴν ἐπιοῦσαν
νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς
ὅπλα φωτός· ῥῦσαι ἀπὸ φόβου νυ
κτερινοῦ· καὶ παντὸς πράγματος ἐν σκό
τει διαπορευομένου· δὸς ἡμῖν τὸν ὕπνο
εἰς ἀνάπαυσιν· τῇ ἀσθενείᾳ ἡμῶν δεδω
ρήσω· πάσης διαβολικῆς φαντασίας
ἀπηλλαγμένον· ναὶ δέσποτα τῶν ἀγα
θῶν χορηγέ· ἵνα καὶ ἐν ταῖς κοίταις
ἡμῶν κατανυγόμενοι· μνημονεύο
μεν καὶ ἐν νυκτὶ τοῦ παναγίου ὀνό
ματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐν
τολῶν καταυγαζόμενοι· ἐν ἀγαλλι
άσει ψυχῆς διανιστῶμεν· πρὸς δο
ξολογίαν τῆς σῆς ἀγαθότητος· δεή
σεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ
προσφέροντες· ὑπὲρ τῶν ἰδίων ἁμαρ
τιῶν καὶ παντὸς τοῦ λαοῦ σου· ὃν ταῖς
πρεσβείαις τῆς θ(εοτό)κου ἐν ἐλέει
ἐπίσκεψαι:—

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις :—

Εὐχὴ τῆς κεφαλοκλισίας

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ κα-
ταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων,
ἔπιδε ἐπὶ τοὺς δούλους σου· οὐ γὰρ
τῷ φιλανθρώπῳ καὶ φοβερῷ κριτῇ οἱ σοὶ
δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφα-
λάς· τοὺς δὲ ἑαυτῶν ὑπέταξαν αὐχέ-
νας· οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοή-
θειαν· ἀλλὰ τὸ σὸν περιμένοντες ἔ-
λεος· τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν·
οὓς διαφύλαξον ἐν παντὶ καιρῷ· καὶ κα-
τὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσ-
ιοῦσαν νύκτα· ἀπὸ παντὸς ἐχθροῦ·
ἀπὸ πάσης ἀντικειμένης περιστάσεως·
διαλογισμῶν ματαίων, καὶ ἐνθυμή-
σεων πονηρῶν :— ἐκφ(ώνησις)

Εἴη τὸ κράτος τῆς βασιλείας σου :—

Δέσποτα Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν, ὁ μόνος ἀγα-
θὸς καὶ φιλάνθρωπος καὶ πολυέλεος· δυσω-
πούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνί-
ας· καὶ ταῖς εὐχαῖς καὶ ἱκεσίαις τῆς πα-

μακαρίαν τῆς ὑπερευλογημένης δεσποί
νης ἡμῶν θ(εοτό)κου· καὶ ἀειπαρθένου μα
ρίας· τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων·
τοῦ ἁγίου ἰωάννου τοῦ προδρόμου καὶ
βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων
ἀποστόλων· καὶ πάντων τῶν ἁγίων·
τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων· ὧν
δι' εὐχῶν τῶν ἁγίων πρεσβειῶν ἡμᾶς εὐλόγη
σον· φύλασσον ἐν εἰρήνῃ διαφύλαξον τὴν
ζωὴν ἡμῶν· ἄφεσιν τῶν ἁμαρτιῶν καὶ
τῆς βασιλείας σου ἀξίωσον ἡμᾶς ποίη
σον· καὶ μνήσθητι κ(ύρι)ε πάντων τῶν ἀ
δελφῶν ἡμῶν καὶ τῶν ἐν ἀσθενείαις·
καὶ διασκέδασον πᾶσαν βουλὴν τῶν μει
ρακί(ων) μου μέχρι καθημέσῃ· καὶ ῥῦσαι
ἡμᾶς ἐξ ἀοράτων καὶ ὁρατῶν ἐχθρῶν·
καὶ σῶσον ἡμᾶς ἐν δ(ὲ) κεν τοῦ ὀνόματός
σου· καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν ἐν
πίστει κοιμηθέντων πατέρων ἡμῶν καὶ
ἀδελφῶν· ὁ πᾶσιν ἐπισκοπεῖ τὸ φῶς
τοῦ προσώπου σου· ὅτι ηὐλόγηται καὶ

δεδοξάσθαι τὸ πάντιμον :—

Εὐχαὶ μεσονυκτικῆς α΄

Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν· ὁ διὰ τῶν σῶν ἐλέου· τῷ χαλα-
χαριτώσας πρὸς ἡμᾶς ἐπέραν ὕπνου τυ-
πώσειν· ψάλλειν ἐν ταύτῃ τῇ ὥρᾳ
καὶ λέγειν· μεσονύκτιον ἐξεγειρόμην
τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρί-
ματα τῆς δικαιοσύνης σου· ἱκάνω-
σον ἡμᾶς τοῦ ἐξομολογεῖσθαί σοι ἐν ὅ-
λῃ καρδίᾳ ἡμῶν καὶ ἐπίσκεψαι ἐν ἐλέ-
ει καὶ οἰκτιρμοῖς τὴν ποίησιν ἡμῶν·
πάθη καὶ φθοροποιῷ ὑποικομένων καὶ
ἡμᾶς ἀναδείξον ἐν τῇ φοβερᾷ ἡμέρᾳ
τῆς κρίσεώς σου· πρεσβείαις τῆς ἁγίας
θ(εοτό)κου καὶ πάντων τῶν ἁγίων σου :— ἐκφ(ώνησις)
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ πρ(οσκύνησις) :—

Εὐχ(ὴ) ἀντιφ(ώνου) β΄

Καὶ νῦν ἐν τῷ μέσον τῆς νυκτὸς καταν-
τήσαντες τὰς κατὰ δύναμιν εὐχαριστεί-
ας προσφέρομεν· καὶ δεόμεθά σου
Χ(ριστ)έ· τῶν δωρηθέντων ταῖς καρδίαις ἡμῶν

τῆς γνώσεώς σου θησαυρῶν· ἀνεξα-
λήπτους διαφύλαξον· ἐμμᾶλλε εἰσπο-
μαι ἡμῶν τὸν τῆς σοφίας σου λόγον· καὶ
ἔλυσαι ἡμᾶς ἀπὸ παντὸς πράγματος
ἐν σκότει διαπορευομένου:—

Ὅτι σὸν τὸ κράτος καί:— Εὐχ(ὴ) ἀντιφ(ώνου) γ΄

Ὁ θεὸς ὁ θεὸς ἡμῶν· ὁ πατὴρ τῶν αἰώνων· ὁ μή-
τε ἀρχὴν μήτε τέλος ἔχων· ὁ λυτρωτὴς
τῶν ψυχῶν καὶ θεμέλιος τῆς τῶν φρο-
νιμάτων· καὶ φύλαξ τῶν καρδιῶν ἡμῶν·
ὁ διὰ τῶν κτισμάτων σου ὑποδείξας ἡ-
μῖν τῆς σῆς δημιουργίας τὴν ἄφραστον
δύναμιν· αὐτὸς δέξωται κατὰ τὴν παροῦ-
σαν ὥραν τῆς νυκτὸς· προσόδεξαι ἡμῶν
τὴν δέησιν· καὶ τὴν σκότου ἐνδείαν ἀν-
απλήρωσον εἰς τελειότητα· καὶ ἀξί-
ωσον ἡμᾶς ἀναδεῖξον τῇ σῇ ἀγαθότητι:—

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τό:—

Εὐχ(ὴ) δ΄ τῆς ἀπο

Κύριε ὁ θεὸς ἡμῶν ὁ διὰ τὸ ἄλλην χρηστότητα·
Καὶ πλῆθος οἰκτιρμῶν· δωρησάμενος

ἡμῶν καὶ τὸ παρελθὸν μῆκος τῆς
νυκτὸς ἀνυπερέαστον ἀπὸ παντὸς κα-
κοῦ· σὺ δέσποτα τῶν ἀπάντων δημιουρ-
γέ· θεὸς ἡμῶν καταρτίσαι καὶ ἐπὶ τὰς
ἑωθινὰς εὐχάς· καὶ καταλάμψον ἐν ταῖς
καρδίαις ἡμῶν· τῷ ἀληθινῷ φωτὶ τοῦ
τῆς γνώσεώς σου φωτισμοῦ· εἰς τὸ ποι-
εῖν ἐν πᾶσι τὸ θέλημά σου:— ἐκφ(ώνησις)
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοί·
Σοὶ τῷ θεῷ τῶν αἰώνων· δημιουργῷ τε πά-
σης κτίσεως· ἡμεῖς οἱ ἀχρεῖοι δοῦλοί σου
κλίναντες τὰς ἑαυτῶν κεφαλὰς καὶ
δεόμεθά σου· ἐξαπόστειλον τὴν εὐλογί-
αν σου τὴν πνευματικὴν ἐφ' ἡμᾶς· καὶ ἐν πά-
σῃ σεμνότητι· καὶ ὑπακοῇ τῶν ἐντολῶν
σου· διαφύλαξον τὴν ζωὴν ἡμῶν:—
Σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν· θεὸς τοῦ ἐλεεῖν:—

## Εὐχαὶ ἑωθιναί:-

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν· τῷ ἐξα-
ναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν·

λόγον αἰνέσεως· τοῦ προσκυνεῖν καὶ ἐ-
πικαλεῖσθαι τὸ ὄνομα τὸ ἅγιόν σου· καὶ
δεόμεθά σου τοῖς σοῖς οἰκτιρμοῖς τῇ
σῇ χρηστότητι· ᾗ πάντοτε ἐχρήσω περὶ
τὴν ἡμετέραν ζωήν· καὶ νῦν ἐξαπό-
στειλον τὴν εὐλογίαν σου ἐπὶ τοὺς ἑστῶ-
τας πρὸ προσώπου τῆς ἁγίας δόξης
σου· καὶ ἀπεκδεχομένους τὸ παρὰ σοῦ πλού-
σιον ἔλεος· καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ
ἀγάπης πάντοτε σοὶ λατρεύοντας· αἰνεῖν·
ὑμνεῖν προσκυνεῖν τὴν ἀνεκλάλητόν
σου ἀγαθότητα :— Ὅτι πρέπει σοι πᾶσα δόξα
Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς
σὲ ὁ θεός· διότι φῶς τὰ προστάγματά σου·
ὁδήγησον τῇ σῇ δικαιοσύνῃ καὶ ἁγιασμὸν
ἐπιτελεῖν ἐν φόβῳ σου· συνέτισον
ἡμᾶς· σὲ γὰρ δοξάζομεν· τὸν ὄντως ὄν-
τα θεὸν ἡμῶν· κλῖνον τὸ οὖς σου καὶ ἐ-
πάκουσον ἡμῶν καὶ μνήσθητι κύριε τῶν
παρόντων καὶ συνευχομένων ἡμῖν
πάντων κατ᾽ ὄνομα· καὶ σῶσον αὐτοὺς ἐν

τῇ δυνάμει σου· εἰρήνην τῷ κόσμῳ σου
δώρησαι· ταῖς ἐκκλησίαις σου· τοῖς ἱε-
ρεῦσι· τοῖς βασιλεῦσι· τῷ στρατῷ· καὶ
παντὶ τῷ λαῷ: — Ὅτι ηὐλόγηται ..:—

Εὐχὴ ἑωθινὴ τρί(τη):—

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς
σὲ ὁ θ(εό)ς· διότι φῶς τὰ προστάγματά σου·
δίδαξον ἡμᾶς ὁ θ(εὸ)ς τὴν διακονίαν σου·
τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά
σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν δι-
ανοιῶν ἡμῶν· μήποτε ὑπνώσωμεν ἐ-
ν ἁμαρτίαις εἰς θάνατον· ἐξέλασον πάν-
τα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χά-
ρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης σου ἥ-
λιον· ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν
διαφύλαξον τῇ σφραγῖδι τοῦ ἁγίου σου
πν(εύματο)ς· κατεύθυνον τὴν προσευχὴν ἡμῶν
εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν ἰδεῖν τὸν ὄρθρον
καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει· ἵνα σοι τὰς
ἑωθινὰς ἀναπέμπωμεν εὐχάς: — ἐκφ(ώνησις)
Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασι(λεία)

Δέσποτα ὁ θεὸς ὁ ἅγιος καὶ ἀκατάληπτος· ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι· ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ· καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος· δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας· πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε· καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν· μνήσθητι κύριε ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου· παντὸς τοῦ λαοῦ σου· τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν· καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν· τῶν ἐν γῇ· τῶν ἐν θαλάσσῃ· τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας· καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος· ἵνα σεσωσμένοι ψυχῇ καὶ σώ-

ματι πάντοτε δοξαζόμενον τες· μετὰ
παρρησίας δοξάσωμεν τὸ θαυμαστὸν
καὶ εὐλογημένον ὄνομά σου:- ἐκφ(ώνησις)

Ὅτι ὁ θ(εὸ)ς ἐλεήμων καὶ οἰκτίρμων ὑπάρχεις καὶ φιλάν(θρωπος)
Εὐχὴ [illegible] β′

Ἀγαθὸν θησαυρέ· πηγὴ τοῦ ἀέννα-
ου πάτερ ἅγιε· θαυματοποιέ·
παντοδύναμε παντοκράτορ· πάν-
τες σὲ προσκυνοῦμεν· καὶ σοῦ
δεόμεθα· τὰ σὰ ἐλέη καὶ τοὺς οἰ-
κτιρμοὺς· ἐπικαλούμενοι εἰς βοή-
θειαν· καὶ ἀντίληψιν τῆς ἡμῶν τα-
πεινώσεως· μνήσθητι ὦ κ(ύρι)ε τῶν σῶν
οἰκετῶν· πρόσδεξαι πάντων τὰς αὐ-
θημερινὰς δεήσεις ὡς θυμίαμα ἐνώπι-
όν σου· καὶ μηδένα ἡμῶν ἀδόκιμον
ποιήσῃς· ἀλλὰ πάντας ἡμᾶς περι-
ποίησαι διὰ τῶν οἰκτιρμῶν σου· μνήσ-
θητι κ(ύρι)ε· τῶν ἐγρηγορούντων καὶ ψαλ-
λόντων εἰς δοξολογίαν τοῦ μονο-
γενοῦς σου υἱοῦ καὶ θ(εο)ῦ ἡμῶν· καὶ τῶν

τοῦ ἁγίου σου πνεύματος. γενοῦ αὐτῶν ὁ
θεὸς καὶ ἀντιλήπτωρ. προσδέξαι αὐ-
τῶν τὴν ἱκεσίαν· εἰς τὸ ὑπερουράνιόν
σου θυσιαστήριον:— ἐκφ(ώνησις)
Ὅτι σὺ εἶ ὁ θ(εὸ)ς ἡμῶν ὁ θ(εὸ)ς τοῦ ἐλεεῖν:
εὐχ(ὴ) α' ἑωθινή:
Εὐχαριστοῦμέν σοι κ(ύρι)ε ὁ θ(εὸ)ς τῶν σ(ωτ)ηρίων
ἡμῶν. ὅτι πάντα ποιεῖς εἰς εὐερ-
γεσίας τῆς ζωῆς ἡμῶν. ἵνα διαπαντὸς
πρὸς σὲ ἀποβλέπωμεν. τὸν σ(ωτῆ)ρα καὶ
εὐεργέτην τῶν ἡμετέρων ψυχῶν. ὅτι δια-
νέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς
νυκτὸς μέτρω. καὶ ἐξήγειρας ἡμᾶς ἐκ
τῶν κοιτῶν ἡμῶν. καὶ ἔστησας εἰς προσ-
κύνησιν τοῦ τιμίου ὀνόματός σου. διὸ δε-
όμεθά σου κ(ύρι)ε. δὸς ἡμῖν ἰδεῖν τὸν ὄρθρον
καὶ τὴν ἡμέραν. δὸς ἡμῖν χάριν καὶ δύνα-
μιν. ἵνα καταξιωθῶμεν ψάλλειν συ-
νετῶς. καὶ προσεύχεσθαι ἀδιαλείπτως
ἐν φόβω καὶ τρόμω. τὴν ἑαυτῶν σωτηρίαν
κατεργαζόμενοι διὰ τῆς ἀντιλήψεως

τοῦ χ͞υ σου· μνήσθητι κ͞ε· καὶ τὸν κύ-
κλον τῶν προσεστηκότων· ἐπάκουσον αὐ-
τῶν καὶ ἐλέησον· καὶ συντρίψον ὑπὸ
τοὺς πόδας αὐτῶν· τοὺς ἀοράτους καὶ
πολεμίους ἐχθρούς:— ἐκφ(ώνησις)

Σὺ γὰρ εἶ ὁ βασιλεὺς χ͞ε σ͞ηρ τῶν ψυχ(ῶν):
Εὐχ(ὴ) ὀρθινὴ ζ

Ὁ θ͞ς καὶ π͞ηρ τοῦ κ͞υ ἡμῶν ἰ͞υ χ͞υ· ὁ ἐ-
ξαναστήσας ἡμᾶς ἀπὸ ὕπνου· καὶ ἐ-
πισυναγαγὼν ἐπὶ τὴν ὥραν ταύτην τῆς
προσευχῆς· δὸς ἡμῖν χάριν ἐν ἀνοίξει
τοῦ στόματος ἡμῶν· καὶ πρόσδεξαι ἡ-
μῶν τὰς κατὰ δύναμιν εὐχαριστείας· καὶ
δίδαξον ἡμᾶς τὰ δικαιώματά σου· ὅτι
τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν·
ἐὰν μὴ σὺ κ͞ε τῷ ἁγίῳ σου πν͞ι ὁδηγήσῃς
ἡμᾶς· διὸ δεόμεθά σου· εἴ τι ἡμάρτο-
μεν μέχρι τῆς παρούσης ὥρας· ἐν λόγῳ
ἢ ἔργῳ· ἢ κατὰ διάνοιαν· ἑκούσιον,
ἢ ἀκούσιον· ἄνες ἄφες συγχώρησον· ἐ-
ὰν γὰρ ἀνομίας παρατηρήσῃς κ͞ε· κ͞ε τίς

ὑποστήσεται· ὅτι παρὰ σοὶ ὁ ἱλασμός·
παρὰ σοὶ ἡ ἀπολύτρωσις· σὺ μόνος ἅ-
γιος καὶ μόνος θεὸς κραταιός· ὑπερασπι-
στὴς τῆς ζωῆς ἡμῶν· σὺ ἡ ὕμνησις ἡμῶν
διαπαντός:— εἰς τὸ ὑπὸ κράτος τῆς βασι(λείας)

Εὐχὴ [illegible]

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· ὁ τὴν τοῦ ὑπερουρα-
νίαν· ἀποσκεδάσας ἀφ' ἡμῶν· καὶ συ-
γκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ· τοῦ καὶ
ἐν νυκτὶ ἐπαίρειν τὰς χεῖρας ἡμῶν· καὶ ὁ-
μολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δι-
καιοσύνης σου· πρόσδεξαι τὰς δε-
ήσεις ἡμῶν, τὰς ἐντεύξεις τὰς ἐξομο-
λογήσεις· τὰς νυκτερινὰς λατρείας· καὶ
χάρισαι ἡμῖν ὁ θ(εὸ)ς πίστιν ἀκαταίσχυν-
τον· ἐλπίδα βεβαίαν· ἀγάπην ἀνυ-
πόκριτον· εὐλόγησον ἡμῶν εἰσόδους
καὶ ἐξόδους· πράξεις ἔργα λόγους ἐν-
θυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς
τὰς ἀρχὰς τῆς ἡμέρας· αἰνοῦντας ὑμνοῦν-
τας εὐλογοῦντας· τῆς σῆς ἀφράστου [illegible]

εὐχ(ὴ) ... θ΄

μεθ' ὃ τὴν ἀγαθότητα :— [illegible]

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· ὁ τὴν διὰ μετανοίας ἄφεσιν
τοῖς ἀνθρώποις δωρησάμενος· καὶ τύπον
ἡμῖν ἐπιγνώσεως καὶ ἐξομολογήσε-
ως ἁμαρτημάτων· τὴν τοῦ προφήτου
Δα(υὶ)δ πρὸς μετάνοιαν· καὶ συγχώρησιν ὑπο-
δείξας· αὐτὸς δέσποτα τοῖς πολλοῖς ἡμᾶς καὶ
μεγάλοις περιπεπτωκότας πλημμε-
λήμασιν· ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα σου
ἔλεος· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρ-
μῶν σου ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν·
ὅτι σοὶ ἡμάρτομεν κ(ύρι)ε· τῷ καὶ τὰ ἄδη-
λα καὶ τὰ κρύφια τῆς καρδίας γινώσκο-
ντι· καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρ-
τίας· καρδίαν δὲ καθαρὰν κτίσον ἐν ἡ-
μῖν καὶ πν(εύματ)ι ἡγεμονικῷ στήριξον ἡμᾶς· καὶ
τὴν ἀγαλλίασιν τοῦ σ(ωτη)ρίου σου δώρησαι ἡμῖν·
μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώ-
που σου· ἀλλ' εὐδόκησον ὡς ἀγαθὸς καὶ
φιλάνθρωπος· μέχρι τῆς ἐσχάτης ἡμῶν ἀνα-
πνοῆς· προσφέρειν σοι θυσίαν δικαιο-

δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁ-
γίοις σου θυσιαστηρίοις:— Ἐκφώ(νησις)
Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σ(ου):—

Εὐχὴ εἰς αἴνους:—

Ὁ θεὸς ὁ θεὸς ἡμῶν· ὁ τὰς νοερὰς καὶ λογι-
κὰς ὑποστησάμενος δυνάμεις τῷ
σῷ θελήματι· σοῦ δεόμεθα καὶ σὲ
ἱκετεύομεν· πρόσδεξαι καὶ ἡμᾶς με-
τὰ τῶν κτισμάτων σου· τὴν κατὰ δύ-
ναμιν δοξολογίαν· καὶ ταῖς πλουσίαις
τῆς σῆς ἀγαθότητος· ἀντάμειψαι δωρεαῖς·
Ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ
ἐπιγείων· καὶ καταχθονίων· καὶ πᾶ-
σα πνοὴ καὶ κτίσις· μόνος γὰρ εἶ θ(εὸ)ς
ἀληθινὸς καὶ πολυέλεος:— Ἐκφ(ώνησις)
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις·
Αἰνοῦμεν καὶ ὑμνοῦμεν· καὶ εὐλογοῦ-
μεν καὶ δοξάζομεν· καὶ εὐχαριστοῦμεν
σοι ὁ θ(εὸ)ς τῶν πατέρων ἡμῶν· ὅτι παρή-
γαγες τὴν σκιὰν τῆς νυκτός· καὶ ἔδειξας
ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ' ὁ

κε ἐπευχόμεθα τὴν σὴν ἀγαθότητα· ἱλάσθητι
ταῖς ἁμαρτίαις ἡμῶν· καὶ προσδέξαι τὴν
δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλα
γχνίᾳ· ὅτι πρὸς σὲ καταφεύγομεν τὸν
ἐλεήμονα καὶ παντοδύναμον θν· λάμ
ψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθι
νὸν ἥλιον· τῆς δικαιοσύνης φώτισον
ἡμῶν τὸν νοῦν καὶ τὰς αἰσθήσεις ὅλας
διατήρησον· ἵνα ὡς ἐν ἡμέρᾳ εὐσχη
μόνως περιπατοῦντες τὴν ὁδὸν τῶν
ἐντολῶν σου· καταντήσωμεν εἰς τὴν
αἰώνιον ζωήν· ὅτι παρὰ σοὶ ἐστιν ἡ
πηγὴ τῆς ζωῆς· καὶ ἐν ἀπολαύσει γε
νέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου
σου φωτός:— Ὅτι θς ἐλέους οἰκτιρ:

εὐχὴ τῆς κεφαλοκλισίας:—

Κε ὁ θς ἡμῶν· ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ
τὸ παντεφορόν σου ὄμματι ὁρῶν πᾶσαν
σου τὴν κτίσιν· σοὶ ἐκλίναμεν τὸν αὐ
χένα τῆς καρδίας καὶ τοῦ σώματος
καὶ δεόμεθά σου ἔκτεινον τὴν χεῖρά σου

τὴν ἀόρατον· ὁ ζήλου κατοικητηρίου σου·
Καὶ εὐλόγησον πάντας ἡμᾶς· Καὶ εἴ τι
ἡμάρτομεν· ἑκουσίως ἢ ἀκουσίως·
ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος συγχώρησον·
ἐκφ δωρούμενος ἡμῖν καὶ τῷ κόσμῳ τὰ ἀγα
θά σοι:— Σοὶ γὰρ ἐστὶν τὸ ἐλεεῖν:—

Εὐχὴ εἰς τὸ καθᾶραι φρέαρ ἢ σαπέν· λαμβά
νεθον τὸν ὀχταήμερον:—

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· σοῦ δεόμεθα καὶ σὲ ἱκε
τεύομεν· σημειωθήτω τὸ φῶς τοῦ προ
σώπου σου ἐπὶ τὸν δοῦλον σου τὸν δ(εῖνα)·
Καὶ σημειωθήτω ὁ σταυρὸς τοῦ μονογε
νοῦς σου υἱοῦ· ἐν τῇ καρδίᾳ καὶ ἐν τοῖς
διαλογισμοῖς αὐτοῦ· εἰς τὸ φυγεῖν τὴν
ματαιότητα τοῦ κόσμου· Καὶ πᾶσαν
τὴν πονηρὰν ἐπιβουλὴν τοῦ ἐχθροῦ· ἀ
κολουθεῖν δὲ τοῖς προστάγμασί σου·
Καὶ δὸς Χ(ριστ)έ· ἀνεξάρνητον μὲν εἶναι τὸ ὄνο
μά σου τὸ ἅγιον ἐπ' αὐτῷ· συναπτόμενο(ν)
αὐτῷ ἐν καιρῷ εὐθέτῳ τῇ ἁγίᾳ σου ἐκκλη

σίαν· καὶ τοῦ ἐλαίου μύρον διὰ τῶν φρικτῶν
μυστηρίων τοῦ χ(ριστο)ῦ σου· ἵνα καταστὰς
ἐν τῷ λαῷ σου πολιτευσάμενον· καὶ φυ-
λάξει τὴν σφραγῖδα ἄθραυστον· τυχεῖν
τῆς μακαριότητος τῶν ἐκλεκτῶν σου· χ-
άριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ:—

Εὐχὴ εἰς ποιῆσαι κατηχούμενον· ἀποδύει
αὐτὸν καὶ ἀπολύει· καὶ ἵστησι κατὰ ἀνα-
τολάς· καὶ ἐμφυσᾷ αὐτῷ τρίτον· καὶ σφραγί-
ζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος καὶ λέγει:

Ἐπὶ τῷ ὀνόματί σου κ(ύρι)ε ὁ θ(εὸ)ς τῆς ἀληθεί-
ας· καὶ τοῦ μονογενοῦς σου υἱοῦ· καὶ τοῦ
ἁγίου σου πν(εύματο)ς· ἐπιτίθημι τὴν χεῖρά μου
ἐπὶ τὸν δοῦλόν σου· τὸν καταξιωθέν-
τα καταφυγεῖν ἐπὶ τὸ ἅγιον ὄνομά σου
καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου
διαφυλαχθῆναι· ἀπόστησον ἀπ' αὐτοῦ
τὴν παλαιὰν ἐκείνην πλάνην· καὶ ἐμ-
πλησον αὐτὸν τῆς σῆς πίστεως καὶ ἐλ-
πίδος καὶ ἀγάπης· ἵνα γνῷ, ὅτι σὺ εἶ μό-
νος θ(εὸ)ς ἀληθινός· καὶ ὁ μονογενής σου υἱ(ός)

ὁ χς ἡμῶν ἰς χς· καὶ τὸ ἔλεόν σου σὺν πᾶσι·
Καὶ δὸς αὐτῷ ἐν πάσαις ταῖς ἐντολαῖς
σου πορευθῆναι. Καὶ τὰς ἀρετάς σου φυ
λάξαι· ὅτι ἐὰν ποιεῖ αὐτὰς ἄνθρωπος ζήσεται
ἐν αὐτοῖς. Καὶ ἐν [illegible] αὐτοῦ ἐν [illegible]
ζωῆς· καὶ ἐνώσον αὐτοῖς τῇ ποίμνῃ
τῆς κληρονομίας σου. Καὶ δοξασθήτω τὸ
ὄνομά σου τὸ ἔλεόν σου ἐν αὐτῷ· καὶ τοῦ [illegible]
[illegible] τοῦ σου υἱοῦ· χῦ δὲ ἡμῶν ἰῦ χῦ· καὶ
τοῦ ζωοποιοῦ πνεύματος. Καὶ ἔστωσαν οἱ ὀ
φθαλμοί σου ἀτενίζοντες εἰς αὐτὰ ἐν ἐλέ
ει διὰ παντός. Καὶ τὰ ὦτά σου ἀκούειν
τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ. Καὶ εὐ
φρανον αὐτὰ ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν. Καὶ παντὶ τῷ γένει αὐτῶν· ἵνα ἐξο
μολογῆται σοι περισσῶν καὶ αἰνῶν
καὶ δοξάζων τὸ ὄνομά σου τὸ μέγα καὶ
ὕψιστον. Καὶ αἰνέσεις διὰ παντὸς πάσας
τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ: — [illegible]
Σὲ γὰρ ὑμνεῖ ἡ πᾶσα ἀγ[illegible] τῶν οὐρανῶν· φορκίς
ται τιμάς σοι κς δέσποτα· ὁ παραφθειρόμενος

εἰς τὸν κόσμον· καὶ κατασκηνώσας
ἐν ἀνθρώποις· ἵνα τὴν σὴν καθελεῖ τυραννίδα·
καὶ τοὺς ἀνθρώπους ἐξελεῖται ὃς ἐπὶ ξύλου·
τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσε·
ἡλίου σκοτισθέντος καὶ τῆς γῆς σαλευομένης·
καὶ μνημάτων ἀνοιγομένων· καὶ σωμά-
των ἁγίων ἀνισταμένων· ὡς τέλοις ὢν τοῦ θα-
νάτου τὸν θάνατον· καὶ καταργήσας τὸν τὸ
κράτος ἔχοντα τοῦ θανάτου· τουτέστι τὸν
διάβολον· ὁρκίζω σε κατὰ τοῦ θεοῦ τοῦ δεί-
ξαντος τὸ ξύλον τῆς ζωῆς· καὶ τάξαν-
τος τὰ χερουβίμ· καὶ τὴν φλογίνην ῥομ-
φαίαν, τὴν στρεφομένην φρουρεῖν αὐτό·
ἐπιτιμήθητι καὶ ἀναχώρησον· κατ᾿ ἐκεί-
νου γὰρ σε ὀρκίζω· τοῦ περιπατήσαν-
τος ὡς ἐπὶ ξηρᾶς ἐπὶ νώτου θαλάσσης· καὶ
ἐπιτιμήσαντος τῇ λαίλαπι τῶν ἀνέμων·
οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους· καὶ ἡ ἀ-
πειλὴ τήκει ὄρη· αὐτὸς γὰρ καὶ νῦν ἐπιτάσ-
σει σοι δι᾿ ἡμῶν· φοβήθητι ἔξελθε καὶ ἀνα-
χώρησον ἀπὸ τῶν πλασμάτων τοῦ

των· καὶ μὴ ὑπὸ πρέψεις μηδὲ ὑπὸ χρυ-
ζεῖς εἰς αὐτούς· μηδὲ σωματοπτίσῃς τι μὴ
αὐτοῖς· μηδὲ ἐμμερτήσῃς μὴ ἐργατεῖς· μηδὲ ἐμμυ-
χτὶ μὴ ἐν ἡμέρᾳ· ἢ ὥρᾳ· ἢ ἐν μεσημβρίᾳ·
ἀλλ᾽ ἄπελθε εἰς τὸν ἴδιον τάρταρον· ἕως
τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας
τῆς κρίσεως· φοβήθητι τὸν θεὸν τὸν καθ-
ήμενον ἐπὶ θρόνου χερουβίμ· καὶ ἐ-
πιβλέποντα ἀβύσσους· ὃν τρέμουσιν
ἄγγελοι ἀρχάγγελοι· θρόνοι κυριότητες·
ἀρχαὶ ἐξουσίαι· δυνάμεις καὶ τὰ πολυό-
μματα χερουβίμ· ὃν τρέμει ὁ οὐρανὸς καὶ
ἡ γῆ καὶ ἡ θάλασσα καὶ πάντα τὰ ἐν αὐ-
τοῖς· ἔξελθε καὶ ὑπαναχώρησον ἀπὸ
τοῦ σφραγισθέντος νεοεκλεκτοῦ στρα-
τιώτου χριστοῦ τοῦ θεοῦ ἡμῶν· κατ᾽ ἐκείνου
γάρ σε ὁρκίζω τοῦ περιπατήσαντος
ἐπὶ πτερύγων ἀνέμων· τοῦ ποιοῦ-
ντος τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λει-
τουργοὺς αὐτοῦ πυρὸς φλόγα· ἔξελθε
καὶ ἀναχώρησον ἀπὸ τοῦ πλάσματ

τοῦ τόπου· ὁμοῦ πάσῃ τῇ δυνάμει καὶ τοῖς
ἀγγέλοις σου:– Ὁ πιδεξά σου τὸ πνεῦμα·
Ὁ θ̅ς̅ ὁ ἅγιος· ὁ φοβερὸς καὶ ἔνδοξος· ὁ ἐπὶ
πᾶσι τοῖς ἔργοις καὶ τῇ ἰσχύει αὐτοῦ· ἀ-
κατάληπτος καὶ ἀνεξιχνίαστος ὑπάρχ(ων)·
αὐτὸς ὁ προορήσας σε διάβολε, τῆς αἰωνίου
κολάσεως τὴν τιμωρίαν· δι' ἡμῶν τῶν ἀ-
χρείων αὐτοῦ δούλων· κελεύει σοὶ καὶ πά-
σαν τὴν συνεργόν σου δύναμιν· ἀποστεῖναι
ἀπὸ τῶν νεωστὶ σφραγισθέντων ἐν τῷ
ὀνόματι τοῦ κ̅υ̅ ἡμῶν ἰ̅υ̅ χ̅υ̅· τοῦ ἀληθινοῦ
θ̅υ̅ ἡμῶν· ὁρκίζω σε οὖν πανπόνηρον
καὶ ἀκάθαρτον καὶ μιαρὸν καὶ ἐβδελυ-
γμένον καὶ ἀλλότριον πνεῦμα· κατὰ τῆς
δυνάμεως ἰ̅υ̅ χ̅υ̅· τοῦ πᾶσαν ἐξουσίαν ἔ-
χοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τοῦ εἰπόντος
τὸ κωφὸν καὶ ἄλαλον δαιμόνιον· ἔξελθε
ἀπὸ τοῦ ἀνθρώπου καὶ μηκέτι εἰσέλθεις εἰς αὐ-
τόν· ἀναχώρησον γνώρισον τὴν σὴν μα-
ταίαν δύναμιν, τὴν μηδὲ χοίρων ἐξουσί-
αν ἔχουσαν· ὑπομνήσθητι κατὰ τοῦ ἐπιτά-

ξ αὐτὸς σου καὶ ταύτην συνμαετήσιμ·
εἰς τὴν ἐθέλειν τῶν χειρῶν εἰσελθεῖν·
φοβήθητι τὸν θ(εὸ)ν· οὗ τὸ προστάγμα
τι ἡ γῆ καθυδάτων ἐπήρειχται τὸν
κτίσαντα τὸν οὐ(ρα)νόν· καὶ στήσαντα τὰ
ὄρει σταθμῶν· καὶ τὰς νάπας ζυγῷ·
καὶ θέντα τὴν ἄμμον θαλάσσης ὅριον· καὶ
ἐν ὕδατι σφοδρῷ τρίβον ἀσφαλῆ·
τὸν ἁπτόμενον τῶν ὀραίων καὶ καπνί
ζονται· τὸν ἀναβαλλόμενον τὸ φῶς
ὡσεὶ ἱμάτιον· τὸν ἐκτείναντα τὸν οὐ
ρανὸν ὡσεὶ δέρριν· τὸν στεγάζον
τα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· τὸν
θεμελιοῦντα τὴν γῆν ἐπὶ τὴν ἀσφά
λειαν αὐτῆς· οὐ κλιθήσεται εἰς τὸν αἰ
ῶνα τοῦ αἰῶνος· τὸν προσκαλού
μενον τὸ ὕδωρ τῆς θαλάσσης· καὶ
ἐκχέοντα αὐτὸ ἐπὶ προσώπου
πάσης τῆς γῆς· ἔξελθε καὶ ἀνα
χώρησον· ἀπὸ τῶν πρὸς τὸ ἅγιον
φώτισμα εὐτρεπιζομένων·

ὁρκίζω σε κατὰ τοῦ σριώδους πα-
θους τοῦ κυ ἡμῶν ιυ χυ· καὶ κατὰ τοῦ
τιμίου αὐτοῦ σώματος καὶ αἵματος·
καὶ κατὰ τῆς ἐλεύσεως αὐτοῦ τῆς φοβε-
ρᾶς· ἥξει γὰρ ἐπὶ τῶν νεφελῶν· ἥξει καὶ
οὐ χρονιεῖ κρῖναι πᾶσαν τὴν γῆν· καὶ σὲ
καὶ τὴν συνεργοῦσάν σου δύναμιν κολάσει
σε εἰς τὴν γέενναν τοῦ πυρός· παρα-
δώσει σε εἰς τὸ σκότος τὸ ἐξώτερον·
ὅπου ὁ σκώληξ ἀκοίμητος καὶ τὸ πῦρ
οὐ σβέννυται:— ἐκφώνη(σις):

Ὅτι τὸ κράτος χυ τοῦ θυ ἡμῶν· συν τῷ:

Κύριε σαβαώθ· ὁ θεὸς ἰηλ· ὁ ἰώμενος πᾶ-
σαν νόσον καὶ πᾶσαν μαλακίαν· ἐ-
πίβλεψον ἐπὶ τοὺς δούλους σου· ἐκζήτη-
σον ἐξερεύνησον καὶ ἀπέλασον ἀφ' αὐ-
τῶν πάσας τὰς ἐνεργείας τοῦ διαβό-
λου· ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύ-
μασιν· καὶ δίωξον αὐτὰ καὶ καθάρισον
τὰ ἔργα τῶν χειρῶν σου· καὶ τῇ ὀξείᾳ σου
χρησάμενος ἐνεργείᾳ· σύντριψον τὴν

σαν ταμαι ὑπὸ τοὺς πόδας ἡμῶν ἐν
τάχει· καὶ δὸς ἡμῖν νίκας κατ' αὐτοῦ·
καὶ τῶν ἀκαθάρ(των) τῶν ἀκαθάρ(των) πν(ευμάτ)ων αὐ-
τοῦ πάντων· ὅπως τῆς παρὰ σοῦ ἐλέους
τυχόντες ἀξιωθῶμεν τῶν ἀχράν-
των καὶ ἐπουρανίων σου μυστηρίων· καὶ δό-
ξαν σοι ἀναπέμψωμεν τῷ πατρὶ καὶ
τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Ἀφορκισμὸς δ' εἰς ποιῆσαι κατη-
χούμενον εἰς προσφορὰν βαπτι-
ζόμενον:

Ὢν δέσποτα κ(ύρι)ε· ὁ ποιήσας τὸν ἄν(θρωπ)ον
κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· καὶ δοὺς
αὐτῷ ἐξουσίαν ζωῆς αἰδίου· εἶτα ἐκ-
πεσόντα ἀδὰμ τῆς ἁμαρτίας μὴ πα-
ριδόντα, ἀλλ' οἰκονομήσας διὰ τῆς ἐναν-
θρωπήσεως τοῦ Χ(ριστο)ῦ σου τὴν σωτηρίαν τοῦ
κόσμου· αὐτὸς καὶ τὸ πλάσμα σου τοῦ-
το· ὁ λυτρωσάμενος αὐτὸ ἐκ τῆς δουλεί-
ας τοῦ ἐχθροῦ· πρόσδεξαι εἰς τὴν βασιλεί-

ἄν σου τὴν ἐπουράνιον· διάνοιξον αὐτοῦ τοὺς
ὀφθαλμοὺς τῆς διανοίας, εἰς τὸ ἐναυγά-
σαι εἰς αὐτὸν τὸν φωτισμὸν τοῦ εὐαγγελί-
ου σου· συζεύξον αὐτοῦ τὴν ζωὴν· ἄ-
γγελον φωτεινὸν διαρρυόμενον αὐτόν· ἐ-
κ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμέ-
νου· ἀπὸ συναντήματος πονηροῦ· ἀ-
πὸ δαιμονίου μεσημβρινοῦ· ἀπὸ φαν-
τάσματος πονηροῦ:— καὶ ἐμφυ-
σᾷ αὐτῷ γʹ· καὶ σφραγίζει τὸ μέ-
τωπον αὐτοῦ· καὶ τὸ στόμα· καὶ τὸ
στῆθος καὶ λέγει:—
Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ
ἀκάθαρτον πνεῦμα κεκρυμμένον καὶ ἐ-
μφωλεῦον αὐτοῦ τῇ καρδίᾳ· πνεῦμα
πλάνης· πνεῦμα πονηρίας· πνεῦμα εἰ-
δωλολατρείας· καὶ πάσης πλεονεξί-
ας· πνεῦμα ψεύδους καὶ πάσης ἀκαθαρ-
σίας· τῆς ἐνεργουμένης κατὰ τὴν δι-
δασκαλίαν τοῦ διαβόλου· καὶ ποίη-
σον αὐτὸν πρόβατον λογικὸν τῆς ἁγίας

ποίμνης τοῦ χ(ριστο)ῦ σου· μέλος τίμιον
τῆς ἐκκλησίας σου· σκεῦος ἡγιασμέ-
νον· υἱὸν φωτὸς καὶ κληρονόμον τῆς
βασιλείας σου· ἵνα κατὰ τὰς ἐντολάς
σου πολιτευόμενον· καὶ φυλάξει τὴν
σφραγῖδα ἀθραυστον· καὶ διατηρήσων
τὸν χιτῶνα ἀμόλυντον· τυχεῖν τῆς
ἐκφ μακαριότητος τῶν ἁγίων σου ἐν τῇ βα-
σιλείᾳ σου:— Χάριτι καὶ οἰκτιρμοῖς
καὶ φιλανθρωπίᾳ τοῦ:— Καὶ μετὰ τὸ ἀ-
μήν· χο(ρός)· ὁ ἱερεύς· Εἰρήνη πᾶσι· ὁ δ(ιάκονος)·
Τὰς κεφαλὰς ἡμῶν τῷ κ(υρί)ῳ κλί(νωμεν):
Ὁ θ(εὸ)ς ὁ σωτὴρ ἡμῶν· ὁ πάντας θέλων
σωθῆναι· καὶ εἰς ἐπίγνωσιν ἀληθεί-
ας ἐλθεῖν· λάμψον φῶς γνώσεως ἐν
ταῖς καρδίαις ἡμῶν τῶν ἁμαρτωλῶν·
καὶ τὸν πρὸς τὸ ἅγιον φώτισμα εὐτρε-
πιζόμενον· καταξίωσον αὐτὸν τῆς
ἀθανάτου σου δωρεᾶς· καὶ ἕνωσον
αὐτὸν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποσ-
τολικῇ ἐκκλησίᾳ:— ἐκφ

ὃν γὰρ ἐστὶν ἣν ποτε ἐλεεῖν καὶ σώζειν ὁ θεός:
καὶ μετὰ τὸ ἀμήν· ἀπολυομένης τοῦ
πολοιομένης τοῦ βαπτιζομένου·
ἀποστρέφει αὐτοὺς ὁ ἱερεὺς ἐπὶ δυσ-
μὰς ἄνω τὰς χεῖρας ἔχοντας· καὶ λέγει γ̄·
Ἀποτάσσομαι τὸν σατανᾶ· καὶ πᾶσι
τοῖς ἔργοις αὐτοῦ· καὶ πάσῃ τῇ λα-
τρείᾳ αὐτοῦ· καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ·
καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ· Καὶ ὅτε εἴπῃ
ὁ κατηχούμενος γ̄· ἀπέταξα· λέγει ὁ ἱερεύς·
ἐμφύσησον αὐτόν· Καὶ ὅτε ἐμφυσήσῃ, ἱ-
στησιν αὐτὸν κατὰ ἀνατολάς· καὶ ἄνω
τὰς χεῖρας ἔχοντας· καὶ λέγει γ̄· καὶ συν-
τάσσομαί σοι Χριστέ· καὶ πιστεύω εἰς ἕνα
θεὸν πατέρα παντοκράτορα· ἕως τέλους· Καὶ ὅτε
πληρώσῃ τρίτον· ἀποκρίνεται ὁ ἱερεύς·
λέγων· Συνετάξω τὸν Χριστόν· καὶ ἀποκρίνεται·
Συνετάξαμεν· καὶ λέγει· Προσκύνησον αὐτόν· καὶ μετὰ
τοῦτο, λέγει ὁ ἱερεύς:
Δέσποτα κύριε· προσκάλεσαι τὸν δοῦ-
λον σου πρὸς τὸ ἅγιόν σου φώτισμα.

Καὶ καταξίωσον αὐτὸν τῆς μετα-
λης ταύτης χάριτος τοῦ ἁγίου σου βα-
πτίσματος· ἀπόλουσον αὐτὸν αὐτοῦ
τὴν παλαιότηται· καὶ ἀνανακαίνη-
σον αὐτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον· καὶ
πλήρωσον αὐτὸν τῆς τοῦ ἁγίου πν(εύματο)ς δυ-
νάμεως· εἰς αἵνωσιν τοῦ Χ(ριστο)ῦ σου· ἵνα
μηκέτι τέκνον σώματος ᾖ· ἀλλὰ τέ-
κνον τῆς σῆς βασιλείας· — ἐκφ(ώνησις)
Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς
καὶ Χ(ριστο)ῦ Θ(εο)ῦ τὰς διακονίας· Καὶ ὁ ἱερεὺς
ποιεῖ τὴν εὐχ(ὴν) ταύτ(ην) καθ' ἑαυτὸν ἐν τῇ κολυμβή(θρᾳ)·
Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων θ(εὸ)ς· ὁ ἐτά-
ζων καρδίας καὶ νεφρούς· καὶ τὰ ἀκρύ-
φια τῶν ἀν(θρώπ)ων ἐπιστάμενος· οὐ γὰρ ἐ-
στὶν πρᾶγμα ἀφανὲς ἐνώπιόν σου·
ἀλλὰ γυμνὰ καὶ τετραχηλισμένα
τοῖς ὀφθαλμοῖς σου· ὁ γινώσκων κα-
τὰ κατ' ἐμέ· μὴ βδελύξῃς με· μηδὲ τὸ
πρόσωπόν σου ἀποστρέψῃς ἀπ' ἐμοῦ·
ἀλλὰ παρένεγκαί μου τὰ πλημμελή-

ματα· καὶ ἐν τῇ ὥρᾳ ταύτῃ· ὁ παρο-
ρῶν ἀνθρώπων ἁμαρτήματα εἰς μετάνοι-
αν· καὶ τὸν μολυσμόν μου τὸν ἐν πάσῃ
τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ὅλον
με ἁγίασον ὁλοτελῆ τῇ δυνάμει σου
τῇ ἀοράτῳ καὶ πνευματικῇ δεξιᾷ· ἵνα ἐν
ἐλευθερίαν ἀλλ' οἷος ὀφείλει λαμβάνειν·
καὶ ταύτην παρελθὼν ποιεῖ τὴν ὑπερτιμέ-
μης· τῆς σῆς ἀφράστου φιλανθρωπίας· ἀν-
τὸς ὁ δοῦλος ἁμαρτίας ἀδόκιμος
γενόμενος· μὴ δεσπότα ὁ μόνος ἀγα-
θὸς καὶ φιλάνθρωπος μηδ' ἀπὸ σοῦ παραφθῆ
πεπλανημένος καὶ κατῃσχυμμέ-
νος· ἀλλ' ἐξαπόστειλόν μοι δύνα-
μιν ἐξ ὕψους καὶ ἐνίσχυσόν με πρὸς
τὴν διακονίαν τοῦ προκειμένου ἁγί-
ου μυστηρίου· τοῦ μεγάλου καὶ ἐ-
πουρανίου καὶ μόρφωσον σὺ τὸν Χ(ριστό)ν·
ἐν τοῖς μέλλουσιν ἀναγεννᾶσθαι διὰ
τῆς ἐμῆς ἐλεεινότητος· καὶ οἰκο-
δόμησον αὐτοὺς ἐν τῷ θεμελίῳ

τῶν ἀποστόλων καὶ προφητῶν· χ(αὶ)
μὴ καταλείπῃς· καὶ φύτευσον αὐτοὺς
φύτευμα ἀληθείας ἐν τῇ ἁγίᾳ σου κα-
θολικῇ καὶ ἀποστολικῇ ἐκκλη-
σίᾳ· καὶ μὴ ἀποστείλεις ἀπὸ προ-
⁘ αὐτῶν ⁘ χοπτόντων ἐν εὐσεβείᾳ· δοξάζε-
ται καὶ δι' αὐτῶν τὸ πανάγιον ὄνομά
σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου
πνεύματος :— καὶ μετὰ τὸ ἀμήν· ἐκφω(νως).
Μέγας εἶ Κ(ύρι)ε καὶ θαυμαστὰ τὰ ἔργα σου·
καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς
ὕμνον τῶν θαυμασίων σου· σὺ γὰρ
βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι πα-
ραγαγὼν τὰ σύμπαντα· τῷ σῷ κρά-
τει συνέχεις τὴν κτίσιν· καὶ τῇ σῇ προ-
νοίᾳ διοικεῖς τὸν κόσμον· σὺ ἐκ τε-
σσάρων στοιχείων τὴν κτίσιν συναρ-
μόσας· τέτρασι καιροῖς τὸν κύ-
κλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας·
σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι αἱ
δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξά-

ζεις σελήνην· σὺ ἐντυγχάνη τὰ ἄστρα·
σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν
ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί·
σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν·
σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδά-
των· σὺ περιετείχισας τὴν θάλασσαν
ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀ-
έρα ἐξέχεας· ἀγγελικαὶ δυνάμεις σοὶ
λειτουργοῦσιν· οἱ τῶν ἀρχαγγέλων
χοροί σε προσκυνοῦσιν· τὰ πολυ-
όμματα χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα
σεραφὶμ κύκλῳ ἑστῶτα καὶ περιϊπτά-
μενα φόβῳ· τῆς ἀπροσίτου σου δό-
ξης κατακαλύπτονται· σὺ γὰρ θεὸς ὢν
ἀπερίγραπτος· ἄναρχός τε καὶ ἀνέκ-
φραστος· ἦλθες ἐπὶ τῆς γῆς μορφὴν
δούλου λαβών· ἐν ὁμοιώματι ἀνθρώπων
γενόμενος· οὐ γὰρ ἔφερες δέσποτα.
διὰ σπλάγχνα ἐλέους σου θεάσασθαι
ὑπὸ τοῦ διαβόλου τυραννούμενον
τὸ γένος τῶν ἀνθρώπων· ἀλλ' ἦλθες καὶ ἔσω

σας ἡμᾶς· ὁμολογοῦμεν τὴν χάριν· κη
ρύττομεν τὸν ἔλεον· οὐ κρύπτομεν τὴν
εὐεργεσίαν· τὰς τῆς φύσεως ἡμῶν
γονὰς ἠλευθέρωσας· παρθενι
κὴν ἡγίασας μήτραν τῷ τόκῳ σου·
πᾶσα ἡ κτίσις ὑμνεῖ σε ἐπιφανέν
τα· σὺ γὰρ ὁ θεὸς ἡμῶν· ἐπὶ τῆς γῆς ὤ
φθης καὶ τοῖς ἀνθρώποις συνανεστράφης·
σὺ καὶ τὰ ἰορδάνια ῥεῖθρα ἡγίασας·
οὐρανόθεν καταπέμψας τὸ ἅγιόν σου πνεῦμα·
καὶ τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφω
λευόντων συνέτριψας δρακόντων·
αὐτὸς οὖν φιλάνθρωπε βασιλεῦ· πάρεσο
καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγί
ου σου πνεύματος· καὶ ἁγίασον τὸ ὕδωρ τοῦ
το· καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπο
λυτρώσεως· τὴν εὐλογίαν τοῦ ἰορ
δάνου· ποίησον αὐτὸ ἀφθαρσίας πη
γήν· ἁγιασμοῦ δῶρον· ἁμαρτημάτων
λυτήριον· νοσημάτων ἀλεξιτήριον·
δαίμοσιν ὀλέθριον· ταῖς ἐναντίαις

δυνάμεσιν ἀπορόσιν τοῖς ἀγγελικοῖς
ἰσχύος πεπληρωμένον: — λέγε(ται)
δὲ ὡς ἀπὸ δὲ γ' τὸ φυγέτωσαν:

Φυγέτωσαν ἀπ' αὐτοῦ πάντες οἱ ἐ-
πιβουλεύοντες τῷ πλάσματί σου·
ὅτι τὸ ὄνομά σου κ(ύρι)ε ἐπεκαλεσάμην·
τὸ θαυμαστὸν καὶ ἔνδοξον καὶ φοβερὸν
τοῖς ὑπεναντίοις: — Καὶ ἐμφυσᾷ
εἰς ὕδωρ γ'. καὶ σφραγίζει γ'. καὶ ἐκ-
φωνεῖ λέγων: —

Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν
τοῦ τύπου τοῦ σταυροῦ σου πᾶσαι αἱ ἐναν-
τίαι δυνάμεις. ὑποχωρησάτωσαν
ἡμῖν πάντα τὰ ἐναέρια καὶ ἀφα-
νῆ εἴδωλα. καὶ μὴ ὑποκρυβήτω
τῷ ὕδατι τούτῳ δαιμόνιον σκοτει-
νόν. μηδὲ συγκαταβήτω τῷ βαπτι-
ζομένῳ· δεόμεθά σου κ(ύρι)ε· πνεῦμα
πονηρὸν σκότωσιν λογισμῶν καὶ
ταραχὴν διανοίας ἐπάγον. ἀλλὰ
σὺ δέσποτα τῶν ἁπάντων ἀνάδει-

ζον τὸ ὕδωρ τοῦτο ὕδωρ ἀναπαύσεως·
ὕδωρ ἀπολυτρώσεως ὕδωρ ἁγιασ
μοῦ, καθαρισμοῦ μολυσμοῦ σαρκὸς
καὶ πνς· ἄνεσιν δεσμῶν· ἄφεσιν πα
ραπτωμάτων· φωτισμὸν ψυχῶν· λου
τρὸν παλιγγενεσίας· υἱοθεσίας χά
ρισμα· ἔνδυμα ἀφθαρσίας· ἀνακαι
νισμὸν πνς· πηγὴν ζωῆς· σὺ γὰρ εἶ
πας κε· λούσασθαι καὶ καθαροὶ γίνεσ
θαι· ἀφέλεται τὰς πονηρίας ἀπὸ τῶν
ψυχῶν ὑμῶν· σὺ ἐχαρίσω ἡμῖν τὴν ἄνω
θεν ἀναγέννησιν δι' ὕδατος καὶ πνς·
Ἐπιφάνηθι κε τῷ ὕδατι τούτῳ· καὶ
δὸς μεταποιηθῆναι τὸν ἐν αὐτῷ βα
πτιζόμενον· εἰς τὸ ἀποθέσθαι μὲν
τὸν παλαιὸν ἄνον τὸν φθειρόμενον·
Κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης·
Ἐνδύσασθαι δὲ τὸν νέον τὸν ἀνακαινού
μενον κατ' εἰκόνα τοῦ κτίσαντος
αὐτόν· ἵνα υἱοῦ γενόμενοι σύμφυτοι·
τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ μονο

ενμοιῶσ σου υἱοῦ δι' αὐτοῦ βαπτίσματος·
κοινωνοί· καὶ τῆς ἀναστάσεως γένωνται·
καὶ φυλάξαντες τὴν δωρεὰν τοῦ ἁγί-
ου πν(εύματο)ς· καὶ αὐξήσαντες τὴν παρακατα-
θήκην τῆς χάριτός σου· δέξονται τὸ
βραβεῖον τῆς ἄνω κλήσεως· καὶ συγκα-
ταριθμηθῶσιν τοῖς πρωτοτόκοις
τοῖς ἀπογεγραμμένοις· ἐν οὐρανοῖς ἐν
Χ(ριστ)ῷ Ἰ(ησο)ῦ καὶ κ(υρί)ῳ ἡμῶν :— ἐκφώ(νως)
Μεθ' οὗ σοι ἡ δό(ξα) καὶ τὸ κράτος· σὺν τῷ
παναγίῳ καὶ ἀγαθῷ καὶ ζωο(ποιῷ):
καὶ μετὰ τὸ ἀμήν· λέγει ὁ ἱερε(ύς)· εἰρήνη πᾶ(σι)·
ὁ διάκ(ονος)· τὰς κεφα(λάς)· καὶ κλίνων ὁ ἱερε(ὺς) τ(ὴν) κεφα(λὴν)
αὐτ(οῦ) εἰς ἀγγεῖον τ(οῦ) ἐλαίου· βασταζόμενον ὑπὸ
τ(οῦ) διακ(όνου), ἐμφυσᾷ αὐτ(ῷ) γ΄· καὶ σφραγίζει
τρίτον· καὶ λέγει τὴν εὐχὴν τοῦ ἐλαίου:
Δέσποτα κ(ύρι)ε ὁ θ(εὸ)ς τῶν π(ατέ)ρων ἡμῶν·
ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε· περι-
στερὰν ἀποστείλας· κάρφος ἐλαίας ἔ-
χουσαν διὰ τοῦ στόματος· καταλλα-
γῆς σύμβολον σωτηρίας τε τῆς ἀπὸ τοῦ

κατακλυσμοῦ· καὶ τὸ τῆς χάριτος
μυστήριον δι' ἐκείνου προτυπώσας·
ὁ καὶ τῆς ἐλαίας τὸν καρπὸν· εἰς ἀπο
πλήρωσιν τῶν ἁγίων σου μυστηρίων
χορηγήσας· ὁ δι' αὐτοῦ καὶ τοὺς ἐν νό
μῳ πνεύματος ἁγίου πληρώσας· καὶ τοὺς ἐν
χάριτι τελειῶν· αὐτὸς εὐλόγησον καὶ
τοῦτο τὸ ἔλαιον· τῇ δυνάμει καὶ ἐνερ
γείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου πνς·
ὥστε γενέσθαι αὐτὸ· χρῖσμα ἀφθαρ
σίας· ὅπλον δικαιοσύνης· ἀνακαι
νισμὸν ψυχῆς καὶ σώματος· πάσης
διαβολικῆς ἐνεργείας· ἀποτρό
παιον εἰς ἀπαλλαγὴν κακῶν πάν
των· τοῖς χριομένοις πίστει καὶ με
ταλαμβάνουσιν ἐξ αὐτοῦ: — ἐκφω
Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου
υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ:
καὶ μετὰ τὸ ἀμήν. ὁ διάκ λέγει· πρόσχωμεν:
ὁ ἱερεύς· λαμβάνει τὸ τρουλλίον καὶ ποιεῖ
ἐξ αὐτοῦ εἰς ὕδωρ σταυροὺς γ̄· ψάλλων ἀλ

ἀλληλούϊα γ΄. καὶ μετὰ τοῦ ἐκφωνεῖν ἀλληλούϊα.

Εὐλογητὸς ὁ θεὸς ὁ φωτίζων καὶ ἁγιάζων
πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.
Καὶ προσφέρεται ὁ βαπτιζόμενος.
Καὶ λαμβάνων ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δα-
κτύλῳ αὐτοῦ ποιεῖ σταυρὸν ἐπὶ τοῦ με-
τώπου τοῦ στήθους καὶ τῶν μεταφρέ-
νων καὶ λέγει· χρίεται ὁ δοῦλος ἔλαιον ἀγαλλι-
άσεως εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.
Τὸ πᾶν χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα
καὶ βαπτίζεται ὑπὸ τοῦ ἱερέως λέγων·
βαπτίζεται ὁ δοῦλος εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τοῦ ἁγίου πνεύματος. Καὶ μετὰ τὸ βαπτισθῆναι
ἀπέρχεται ὁ ἱερεὺς λέγων οὕτως· μακά-
ριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Εὐχὴ

εἰς τὸ ἅγιον μύρον.

Εὐλογητὸς εἶ κύριε ὁ θεὸς ὁ παντοκρά-
τωρ, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ ἥλιος
τῆς δικαιοσύνης, ὁ λάμψας τοῖς ἐν
σκότει φῶς σωτηρίας, διὰ τῆς ἐπιφα-
νείας τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ.

ἡμῶν· καὶ χαρισάμενος ἡμῖν τοῖς
ἀναξίοις· τὴν μακαρίαν κάθαρ
σιν ἐν τῷ ἁγίῳ ὕδατι καὶ τὸν θεῖον
ἁγιασμὸν ἐκ τοῦ ζωοποιοῦ χρίσμα
ματι· καὶ νῦν εὐδοκήσας ἀναγεν
νῆσαι τοὺς δούλους σου τοὺς νεοφω
τίστους, δι' ὕδατος καὶ πνεύματος· καὶ
τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων αὐ
ἁμαρτημάτων ἄφεσιν αὐτοῖς δω
ρησάμενος· αὐτὸς οὖν δέσποτα παμβασι
λεῦ εὔσπλαγχνε· χάρισαι αὐτοῖς· καὶ
τὴν σφραγῖδα τῆς δωρεᾶς· τοῦ ἁγίου
καὶ παντοδυνάμου καὶ προσκυ
νητοῦ σου πνεύματος· καὶ τὴν μετάλη
ψιν τοῦ ἁγίου σώματος καὶ αἵματος
τοῦ Χριστοῦ σου· φύλαξον αὐτοὺς ἐν τῷ ἁ
γιασμῷ σου· βεβαίωσον ἐν τῇ ὀρθο
δόξῳ πίστει· ῥῦσαι ἀπὸ τοῦ πονη
ροῦ καὶ πάντων τῶν αὐτοῦ ἐπιτη
δευμάτων· καὶ τῷ σωτηρίῳ σου φόβῳ·
ἐν ἁγνείᾳ καὶ δικαιοσύνῃ τὴν ψυχὴν·

αὐτοῦ διατήρησον ἵνα ἐν παντὶ ἔρ
γῳ καὶ λόγῳ εὐαρεστῶν σοι· υἱὸς κ(αὶ)
κληρονόμος τῆς ἐπουρανίου σου γένη
ται βασιλείας:— ἐκφω(νήσις)

Ὅτι σὺ εἶ ὁ θ(εὸ)ς ἡμῶν· ὁ θ(εὸ)ς τοῦ ἐλεεῖν καὶ σῴζειν:
καὶ χρίει τὸ ἅγιον μύρον ποιῶν σταυρὸν
ἐπὶ τοῦ μετώπου· καὶ τῶν μυκτήρων
καὶ τῶν ὠτίων· καὶ λ(έγει)· σφραγὶς δω
ρεᾶς μύρον ἁγίου πν(εύματο)ς ἀμήν· εἰς τὸ ὄνομα
τοῦ π(ατ)ρ(ὸ)ς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πν(εύματο)ς· καὶ
μετὰ τοῦτο· ὅσοι εἰς Χ(ριστὸ)ν ἐβαπτίσθητε:
καὶ ὅτε εἴπῃ τό· δοξάζει καὶ ἐκφωνεῖ
λέγων·· Εὐλογητὸς ὁ θ(εὸ)ς ὁ φωτίζων καὶ ἁ
γιάζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς
Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸ παιδίον·

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν· ὁ καθαρίσας τὸν δοῦ
λον σου ἐν τῇ ἁγίᾳ σου κολυμβήθρᾳ·
καὶ φυλάξας ἐν τῷ ἁγίῳ σου πν(εύματ)ι· καὶ
ἀξιώσας αὐτὸν πρόβατον τῆς τιμίας
ποίμνης σου γενέσθαι· καὶ νῦν ὁ αὐ
τὸς εἶ· καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν·
παράσχου τῷ δούλῳ σου τὴν τοῦ λου
τροῦ τούτου ἀπόλουσιν· τὸν ἐμπον

τῆς σαρκὸς ἀποθέσθαι· καθα-
ρὰν τὴν ποίησίν σου διατηρῆσαι· ὅ-
πως εὐαρεστοῦντάς σου καὶ ἐν ταῖς
ἐντολαῖς σου πολιτευόμενοι, τῶν
ἐκφ(ώνησις) τοῖς ἀφθάρτοις σου καταμπισειλη-
μμασ:— Χάριτι καὶ οἰκτιρμοῖς Χ(ριστο)ῦ:

Εὐχ(ὴ) τῆς κεφαλοκλησίας:

Οἱ ἐνδυσάμενοί σε τὸν Χ(ριστὸ)ν καὶ Θ(εὸ)ν· ὑ-
πέκλιναν σὺν ἡμῖν τὸν ἑαυτῶν αὐ-
χένα· οὓς διαφύλαξον· ἀ4πιτους
γνωμιστὰς διαμεῖναι κατὰ τὸν μάτην
ἐχθρόν· ἀμυνόμενον κατ' αὐτῶν τε
καὶ ἡμῶν· τῶν δὲ σῶν ἀφθάρτων στε-
φάνων μέχρι τέλους νικητὰς ἀναι-
δεξον· σὸν γάρ ἐστι τὸ ἐλεεῖν καί:—

Εὐχ(ὴ) εἰς κουρεῦσαι παιδίον

Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν· ὁ τῇ εἰκόνι σου τιμή-
σας τὸν ἄνθρωπον· ἐκ ψυχῆς λογικῆς· καὶ
σώματος εὐπρεποῦς κατακοσμή-
σας· ὅπως τὸ σῶμα ἐξυπηρετεῖ τῇ
λογικῇ ψυχῇ· κεφαλὴν μὲν· ἐπὶ
τῶν ὑψηλοτάτων θείς· καὶ ἐν αὐτῇ
τὰς πλείστας τῶν αἰσθήσεων καθιδρύ-

σας· μὴ παρεμποδιζούσας ἀλλήλαις·
ταῖς δὲ θριξὶ· τὴν κεφαλὴν ὀροφώ-
σας· πρὸς τὸ μὴ ἐλαττοῦσθαι ταῖς
μεταβολαῖς τῶν ἀέρων· καὶ πάν-
τα τὰ μέλη αὐτοῦ χρησίμως ἐμφυτεύ-
σας· ἵνα καὶ διὰ πάντων εὐχαρι-
στῇ σοι τῷ ἀρίστῳ τεχνίτῃ· αὐτὸς δέσ-
ποτα· ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς
σου Παύλου τοῦ ἀποστόλου· ἐντει-
λάμενος ἡμῖν πάντα εἰς δόξαν σὴν
ποιεῖν· τὸν προσελθόντα δοῦλόν
σου· ἀπαρχὴν ποιήσασθαι· κείρασ-
θαι τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ· εὐ-
λόγησον ἅμα τῷ ἀναδόχῳ αὐτοῦ· καὶ
δὸς αὐτοῖς πάντα τὸ ἐμμελετᾶν τὸν νό-
μον σου· καὶ τὰ ἀρεστά σου πράττειν·
Ὅπως προκόπτων αὐτὸς μὲν ἡλι-
κίαν καὶ πολιτείαν γέρως· δόξαν σοι ἀ-
ναπέμψωσιν· εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Διάταξις εἰς ἅγιον φῶς· κατηχήσεως ἐπιφα-
νείᾳ τοῦ κυρίου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· [illegible]

[illegible]

ταῦτα ἀπελθ(όντ)ων τὴν λιτήν· καὶ εἰπεῖν ὁ δ(ιάκονος)
χορεω(ν) ... τὴν ἐκτενήν· καὶ τὸ Κ(ύρι)ε ἐλέ(ησον)·
διδοτε σοφί(α)· ὁ ἱε(ρεὺ)ς λέγει προσχῶμεν· χ(ορὸ)ς
τὰ ἅγια ἁγίως· μετὰ τοῦ ἀπ(ολυτικίου) καὶ τὸ εὐχ(ὴν)
ἄρχεται ὁ δ(ιάκονος)· Εἴπωμεν πάντες τὸ Κ(ύρι)ε
ἐλέ(ησον)· Ἐστῶμεν ἐν φόβῳ καὶ εἴπωμεν πάντες
τὸ Κ(ύρι)ε ἐλέ(ησον)· Κ(ύρι)ε ὁ Θ(εὸ)ς ἡμῶν ὁ πηγάζων
ἡμῖν ζωὴν εἰς αἰῶνας μόνος· δεόμεθά σου ἐπάκ(ουσον)·
Ὁ ἐν Ἰορδάνῃ καταδεξάμενος πληρῶσαι πᾶ(σαν)
δικαιοσύνην· δεόμεθά σου ἐπάκουσον·
Ὁ τὸ πῦρ ἐν Ἰορδάνῃ κεράσας· καὶ τὴν
ἁμαρτίαν ἡμῶν τὴν πικρὰν διαλύ-
σας· δεόμεθά σου ἐπάκουσον ἡμῶν·
Ὁ ταῖς χερσὶ καὶ ἀπεχθοῦντι ὕδατα· ἐ-
πέλισσας τοῦ προφήτου ... ἀθε-
ραπεύσας· δεόμεθά σου ἐπάκουσον·
Ὁ τὴν ἄχραντον κορυφήν σου ὑποκλίνας
τῷ δούλῳ σου· ἵνα ἡμᾶς τῆς τοῦ τυρά-
ννου ἀπαλλάξῃς δουλείας· δεόμεθα·
Ὁ ὑπὸ ἀξιοπίστου πρὸς τὴν μαρτυρίαν
δοξασθείς· καὶ παρ' ἡμῶν υἱὸς θεολογούμενος· δεό(μεθα)·
Ὁ διαρρήξας πέτραν ἐν ἐρήμῳ καὶ

ἐρρύησαν ὕδατα χειμάρρους κατέκλυσας. καὶ
διψῶντα τὸν λαὸν ἐκόρεσας. δεόμεθά σου ἐπά-
κουσον καὶ ἐλέησον. Ἐλέησον ἡμᾶς ὁ θεὸς τῇ δυνάμει τοῦ τιμίου σου
σταυροῦ παρακαλοῦμέν σε τριὰς ἁγία ἐπά-
κουσον καὶ ἐλέησον:— Καὶ μετὰ τὸ εἰπεῖν τὸ
Κύριε ἐλέησον: λέγει ὁ ἱερεύς· ἐκφώνως:
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις:
ὁ διάκονος ἄρχεται λέγειν:
Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν:· Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης:
Ὑπὲρ τῶν προκειμένων ὑδάτων τούτων
εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν:—
Ὑπὲρ τοῦ ἁγιασθῆναι αὐτὰ τῇ ἐπιφανείᾳ
τοῦ Χριστοῦ καὶ θεοῦ τοῦ Κυρίου δεηθῶμεν:
Ὑπὲρ τοῦ βασιλείας ἀτελεύτον καὶ οὐράνιον καταξιω-
θῆναι ἡμᾶς διὰ τοῦ βαπτίσματος τοῦ Κυρίου δεηθῶμεν:
Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ῥεῖθρα Ἰορδάνου· πηγὴν
ζωῆς τοῦ Κυρίου δεηθῶμεν·
Ὑπὲρ τοῦ δωθῆναι αὐτά, δύναμιν ἰαματικήν·
δύναμιν ἐνεργητικήν· τοῦ Κυρίου δεηθῶμεν:
Ὑπὲρ τοῦ εὐλογηθῆναι αὐτὰ διὰ τῆς ἐπιφα-
νείας τοῦ Χριστοῦ· τοῦ Κυρίου δεηθῶμεν ἐνθέως:
Ὑπὲρ τοῦ ζωῆς ἀφθαρσίας καταξιωθῆναι ἡμᾶς

διὰ τῆς τοῦ ἁγίου βαπτίσματος δυνάμεως
τοῦ Χριστοῦ· τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εἰρηνικὸν καὶ ἡσύχιον βίον διάγειν
ἡμᾶς ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ θεαθῆναι τὸ πνεῦμα τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐ-
πὶ τὰ ὕδατα ταῦτα τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ τοῦ:
Ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλα-
κτον γενέσθαι καὶ ἐνδοθῆναι ἡμῶν ἐπὶ τ-
αῖς ἀνομίαις ἡμῶν καὶ ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς καὶ ἀφόβως ζῆσαι
χρόνον ἐκ τῶν ἡγιασμένων ὑδάτων τού-
των· ὑπὲρ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ λαβεῖν ἡμᾶς ἄφεσιν ἁμαρτιῶν
τῇ μεταλήψει τῶν προκειμένων ὑδά-
των τούτων εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν:
Ὑπὲρ τοῦ νεκρωθῆναι πᾶν πλημμέλημα
ἑκούσιόν τε καὶ ἀκούσιον διὰ τοῦ βα-
πτίσματος, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ μὴ ξένους ἡμᾶς γενέσθαι διὰ τῆς ἐπι-
φανείας τοῦ Χριστοῦ, τοῦ Κυρίου δεηθῶμεν:
Ὑπὲρ τοῦ κατελθεῖν ἐφ' ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον
καὶ ἐπὶ τὰ ὕδατα ταῦτα τῇ ἐπιφανείᾳ τοῦ
Χριστοῦ, τοῦ Κυρίου δεηθῶμεν:

Ὑ(πὲρ) τοῦ παραδείσου θύρας ἀνεῳχθῆναι ἡ-
μῖν διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χ(ριστο)ῦ τοῦ Κ(υρίο)υ:
Ὑ(πὲρ) τοῦ ἐρρῶσθαι ἡμῖν τὸν ζωοποιὸν σταυρὸν
ὅπλον ἀκαταμάχητον καταστροφὴ
πολεμίων τοῦ Κ(υρίο)υ δεη(θῶμεν):
Ὑ(πὲρ) τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώ-
σεως· τῇ ἐπιφανείᾳ τοῦ Χ(ριστο)ῦ τοῦ δ(εηθῶμεν):
Ὑ(πὲρ) τοῦ ὑπερασπίσαι κ(αὶ) βοηθῆναι ἡμῶν τῆς
δεήσεως ἡμῶν τοῦ Κ(υρίο)υ δεη(θῶμεν):
Ὑ(πὲρ) τοῦ χαρῆναι ἡμᾶς χαρὰν οὐράνιον διὰ
ἐνανθρωπήσεως τοῦ Χ(ριστο)ῦ τοῦ Κ(υρίο)υ δεη(θῶμεν):
Ὑ(πὲρ) τοῦ ψάλλειν ἡμᾶς ψαλμοῖς καὶ ὕ-
μνοις καὶ ᾠδαῖς πνικαῖς τοῦ Κ(υρίο)υ δεη(θῶμεν):
Ὑ(πὲρ) τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου εὐ-
σταθείας· τῶν ἁγίων τοῦ Θ(εο)ῦ ἐκκλησιῶν:
Ὑ(πὲρ) τοῦ ῥυσθῆναι ἡμᾶς: Ἀντιλαβοῦ σῶσον
Τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θ(εοτό)κου:
Καὶ εὐθὺς ὁ ἱερεὺς ἐκφώνως λέγει:
Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς
εἰρήνη ἐν ἀνθρώποις εὐδοκία: Κ(ύρι)ε τὰ
χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου:
Τριὰς ὑπερούσιε ὑπεράγαθε ὁμοούσιε
εὔθυνον ἡμᾶς κατὰ τὸ τρισσῶς καὶ

ἀφθόνως τῆς θεαρχικῆς σου ἱεραρχί-
ας· εἰς τὴν τῶν ὑδάτων φύσιν· φόβον ἐκχέ-
οντας:–

Ἰδοὺ ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρός·
καὶ ἄγγελοι μετ' ἀνθρώπων συγχορεύουσιν·
Σήμερον ἡ χάρις τοῦ ἁγίου πνεύματος
φωτίσασα· ἁγιάζει τὰ ὕδατα
τῇ ἐπιφανίᾳ σου Χριστέ· σήμερον ἐπι-
δημίαν θεοῦ πρὸς ἀνθρώπους ἑορτάζομεν·
σήμερον ὁ συνάναρχος λόγος τοῦ
πατρὸς καὶ συναΐδιος τοῦ παναγί-
ου πνεύματος· Χριστὸς τῷ κόσμῳ ἐπεφάνη·
καὶ τὸν ἅπαντα κόσμον κοσμίως
κατακοσμήσας ἐφαίδρυνεν· ἀνε-
λάμενος τὴν τοῦ κόσμου ἁμαρτίαν· καὶ
τὸν ἐχθρὸν τοῦ κόσμου κατεβάλλεν
διάβολος· ἡγίασεν τὰς τῶν ὑδάτων
πηγὰς καὶ ἐφώτισεν τὰς τῶν ἀνθρώπων
ψυχάς· σήμερον ὁ οὐρανὸς εὐφραίνε-
ται καὶ πᾶσα ἡ γῆ ἀγάλλεται· σήμερον
ὁ ἄδυτος ἥλιος ἐν τοῖς ὕδασι δέδυ-
κεν καὶ ὁ κόσμος φωτὶ καταυγάζε-

ται· σήμερον ἡ σελήνη λαμπραῖς ἀκτῖ-
σι τὸν κόσμον καταλαμπρύνεται· σή-
μερον οἱ φωτοϊδῆς ἀστέρες τῆ ὡρε-
ότητι τὴν οἰκουμένην καλλωπίζου-
σιν· σήμερον αἱ νεφέλαι ὑετὸν
δικαιοσύνης τῇ ἀνθρωπότητι δροσί-
ζουσι· σήμερον τὰ σουνάματα τῶν ὑδά-
των νόται ὑποστεόμοισιν· τοῖς ἴ-
χνεσι τοῦ δεσπότου· σήμερον ὁ ἀ-
όρατος ὁρᾶται· ἵνα ἡμᾶς ἐμφα-
νεῖς αὐτῶ ποιήσῃ· σήμερον ὁ ἄκτι-
στος ὑπὸ τοῦ ἰδίου κτίσματος βου-
λήσει χειροθετεῖται· σήμερον ὁ
δεσπότης πρὸς τὸ βάπτισμα ἐ-
πείγεται· ἵνα ἀναβιβάσῃ εἰς ὕψος
τὸ ἀνθρώπινον· σήμερον ὁ κλίνας
οὐρανοὺς τὸν οἰκεῖον αὐτοῦ αὐχένα κλί-
νη· ἵνα τὸν καθ' ἡμᾶς λυθήσει δράκον-
τα· σήμερον προφητικὴ χεὶρ κο-
ρυφὴν πυρίφλογος ὂν ἐφάπτετε· ἵ-
να δι' αὐτῆς τὸ τῆς ἀφθαρσίας χου-
πρὸν ἡμῖν δωρήσηται· σήμερον ὁ

προφὴ τῆς πρὸς τὸν δημιουργὸν
πόθου προσέρχεται· ἀλλ' ἀτρεμὴς
ἡ παρίσταται φόβῳ θῦ τὴν συγκατά-
βασιν· σήμερον τῶν ἀνθρώπων [illegible]
[illegible] τοῖς ὕδασι τοῦ ἰορδάνου ἀ-
πολείφονται· σήμερον ὁ παράδει-
σος ἠνέῳκται τοῖς ἀνθρώποις καὶ ἡ δικαιο-
σύνη ἡμῖν συνεορτάζει· σήμερον
τὰ παλαιὰ ῥάκη τῆς ἁμαρτίας ἐκ-
δυσάμενοι, νέον χιτῶνα ἀφθαρ-
σίας χάριτι χῦ ἐνεδυσάμεθα·
σήμερον λαμπαδηφόρος πᾶσα
ἡ κτίσις ἀναφαίνεται· τῇ θεοφωτί-
σει τοῦ παναγίου πνς· σήμερον τὰ
ἰορδάνεια ῥεῖθρα τοῖς ἀνοῖς περι-
ποιεῖται· σήμερον ἡ τοῦ σρς ἐπέλα-
σις τὴν παλαιὰν κατήργησεν· καὶ ὁ-
δὸν σωτηρίας ἡμῖν κατεργάζεται· σήμε-
ρον τὰ ἁλμυρὰ ὕδατα τῆς θαλάσσης
εἰς γλυκύτητα μεταποιοῦνται τῇ
ἐπιφανίᾳ τοῦ ἰδίου δεσπότου· σή-
μερον ῥείθροις [illegible] πνευματικοῖς πο-

σαν ἡ κτίσις ἀρδεύεται· σήμερον τὰ
ἄνω τοῖς κάτω συνομιλεῖ καὶ τὰ
κάτω τοῖς ἄνω συνεορτάζει· σήμε
ρον ἡ τῶν εἰδώλων πλάνη καταρ
γεῖται καὶ τὰ δυσώδη αὐτῶν θριαμβεύον
ται πράγματα· σήμερον ὁ προαιώ
νιος θεὸς λόγος ἐκ παρθένου τεχθῆναι
ηὐδόκησε· οὐδὲ τὸ τοῦ δούλου κα-
ταποιηθῆναι ἐπαισχύνεται· ἔδει γὰρ
αὐτὸν ἐκ γυναικὸς τεχθῆναι·
καὶ ὑπὸ Ἰωάννου βαπτισθῆναι· σήμερον
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου
ἐν τῷ οἰκείῳ αὐτοῦ ῥεύματι βαπτί
ζεται· σήμερον ὁ περιβάλλων τὸν
οὐρανὸν ἐν νεφέλαις ἀέρων τὸν Ἰορδά
νην περιεβάλετο· σήμερον ἡ ἱε
ρὰ καὶ μεγαλόφωνος τῶν ὀρθοδόξων
ἐκκλησία τῶν Χριστιανῶν πανηγυρίζει·
σήμερον οὐρανῶν βασιλείαν ἐθεασά
μεθα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσ
ται τέλος· σήμερον ὁ πρόδρομος πρὸς
τὸν δημιουργὸν τὸν θεὸν παρίσταται· ἀ
λλὰ τρόμῳ προσέρχεται ὁρῶν πῶς αὐτὴν

θυ ὑπὲρ ἡμᾶς οἰκονομίας τὸ μέγεθ(ος)·
διὸ καὶ ἡμεῖς ὁμοφρόνως ὑμνοῦμεν κ(αὶ)
λέγομεν· Δεῦτε καὶ ἴδετε τὸν πο-
λύφωτον ἥλιον ἐν τῷ ποταμῷ τῷ
Ἰορδάνῃ ἐν τῷ χρῷ ῥεῖθρα βαπτιζόμε-
νον· Δεῦτε ἴδετε θεὸν ὑπὸ δούλου χειρο-
θετούμενον, ὃν ὑμνοῦσιν τὰ χερου-
βὶμ· καὶ δοξάζει τὰ σεραφίμ· τὸ
μυστήριον ἄφραστον καὶ εὐφυλι-
χον· ὃ ἐδωρήσω πάσῃ τῇ κτίσει·
Καὶ γὰρ τὸ πνεῦμα τὸ ἅγιον κατέπεμπεν
ἐν εἴδει περιστερᾶς· καὶ ὁ πατὴρ ἄνω-
θεν ἐμαρτύρει λέγων· οὗτός ἐστιν ὁ
υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα
αὐτοῦ ἀκούετε· Καὶ γὰρ καὶ ἡμεῖς οἱ
ἁμαρτωλοί· κατὰ τὴν τῶν προ-
φητῶν παραίνεσιν ὑμνοῦμεν καὶ λέ-
γομεν· δοξάζομέν σε δέσποτα χ(ριστ)ὲ
σῶσον ἡμᾶς βασιλεῦ· δοξάζομέν σε
τὸν κτίστην καὶ δημιουργὸν τῶν ἁπάν-
των· δοξάζομέν σε τὸν κ(ύριο)ν τοῦ μὴ ὄν-
τος εἰς τὸ εἶναι παραγαγόντα τὰ σύμπαν-
τα· δοξάζομέν σε τὸν ἐν ἀρχῇ τε

μμηθῆναι τὸ φῶς προστάξαντα·
δοξάζομέν σε τὸν ἐν φωτὶ αὐλιζόμε-
νον· δοξάζομέν σε τὸν τὴν τετρα-
πέρατον κτίσιν φωτὸς ἀϊδίου
πληρώσαντος· ὁ γὰρ σοφὸς καὶ
δημιουργὸς τοσούτου ὢν καὶ τὴν γῆν ὡς
ἐναοῖκον ἐθεμελίωσας· τὸ σκό-
τος ὑποχωρεῖν κελεύσας· καὶ τὸ
φῶς ἀνεκλάμπειν ἡμῖν ἐκ λείποτος ἐ-
ποίησας· καὶ τὸν μὲν ἥλιον ἐκπυρώ-
σας· καὶ διακοσμήσας ἐν πᾶσι φέ-
ρειν τὸν κύκλῳ πόλον τοῦ οὐρανοῦ· τὸ
τῆς ἡμέρας φαίδιον· σελήνην δὲ καὶ
ὅπως τῶν ἀστέρων χορείας πρὸς δι-
άγραμμα τῆς νυκτός· ἐξαλώπησας·
ἔτι δὲ δέδωκας καὶ τῷ ἀπὸ τῶν ὑδά-
των πανπλήθη φύσει· εἰς μίαν συ-
ναγωγὴν συνήγαγες· καὶ ἀπεκαλύ-
φθη ἡ ξηρὰ καὶ τὰ ἐν αὐτῇ γενησόμενα·
ἑρπετὰ καὶ πετεινά· καὶ ἰχθύδων
πλήθη ἀπεκύησεν τὰ μεγάλα ἐν τοῖς ὕ-
δασι· ὁ σχολάζων μεστὰ λογχοῦμεν-
νῳ δὲ κατὰ τοῦ πτερώματος τοῦ

ὁ οὐ(ρα)νὸς ὑπὲρ τὸ μὲν ἄνω μὲ φ' ὅλως εἶδες τὸν
ἀέρα κοσμοῦσι· ὡς αὐτὸς καὶ ἡ γῆ
πάντων τετραπόδων καὶ ἑρπε-
τῶν κελεύσει τῇ σῇ ἀπεφάνθησαν·
τὴν τῶν ἀνθέων ποικιλοσμί-
αι· ὡς αὐτὸς δεδέσποται καὶ τὸ τῶν
ἀνθρώπων ἐπλαστούργησας, κατ' εἰκό-
να σὴν καὶ ὁμοίωσιν· διὸ καὶ ἡμᾶς
οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν:—

Μέγας εἶ Κ(ύρι)ε καὶ θαυμαστὰ τὰ ἔργα:
ζή(τει) ὄπισω ἐς εὐχὰς τοῦ βαπτίσματος·
γίνεται δὲ· ὡς ἀγγελικῆς ἴαχος πε-
πληρωμένον· καὶ πάλιν ἡ ἔρχονται δε
καὶ λέγε σύμπαντα:—

Ἰ μαρτάνοντες οἱ ἀρρωστούμενοι καὶ μετα-
λαμβάνοντες ἐξ αὐτοῦ· ἔχειν αὐ-
τῶν πρὸς καθαρισμὸν ψυχῆς καὶ σώ-
ματος· πρὸς ἰατρεῖον παθῶν πρὸς ἁ-
γιασμὸν οἴκων· πρὸς πᾶσαν ὠφέλειαν
ἐπιτήδειον· σὺ γὰρ εἶ ὁ θ(εὸ)ς ἡμῶν· ὁ δι'
ὕδατος καὶ πνεύματος ἀνακαινίσας τὴν πα-
λαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας·
σὺ εἶ ὁ θ(εὸ)ς ἡμῶν, ὁ δι' ὕδατος καὶ τῶν σχα

τα κλύσας ὅσοι τοῦ νῶε ἐπὶ τὴν ἁμαρτί·
σὺ εἶ ὁ θσ ἡμῶν· ὁ διὰ θαλάσσης ἐλευ
θερώσας τὸ γένος τῶν ἑβραίων· σὺ
εἶ ὁ θσ ἡμῶν ὁ διαρρήξας πέτραν ἐν ἐ
ρήμῳ· καὶ ἐρρύησαν ὕδατα· καὶ χεί
μαρροι κατεκλύσθησαν· καὶ διψῶν
τα τὸν λαόν σου χορτάσας· σὺ εἶ ὁ θσ
ἡμῶν· ὁ δι' ὕδατος καὶ πυρὸς διὰ τοῦ
ἡλίου ἀπαλλάξας τὸν ιηλ· ἐκ τῆς
πλάνης τῆς βαάλ· αὐτὸς καὶ νῦν δέσ
ποτα· ἁγίασον τὸ ὕδωρ τοῦτο· τῷ πνι
σου τῷ ἁγίῳ· δὸς πᾶσιν· τοῖς τε ἁπτομέ
νοις· τοῖς τε μεταλαμβάνουσιν· τοῖς
τε χριομένοις· τὸν ἁγιασμὸν τὴν εὐ
λογίαν· τὴν κάθαρσιν· τὴν ὑγίαν· ἵνα
καὶ διὰ στοιχείων· καὶ δι' ἀνθρώπων καὶ διὰ
ἀγγέλων καὶ διὰ ἀοράτων· καὶ διὰ
ὁρωμένων δοξάζεταί σου τὸ πανάγιον
ὄνομα τοῦ πρς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγ:

Καὶ μετὰ τοῦ πνς· εἰρήνη πᾶσιν· ὁ δ·
Τὰς κεφαλὰς ἡμῶν:— ὁ ἱερεὺς ἐκφώνη
καὶ λέγει:—

Κλῖνον κ(ύρι)ε τὸ οὖς σου καὶ ἐπάκου-
σον ἡμῶν· ὁ ἐν Ἰορδάνῃ βαπτισ-
θῆναι καταδεξάμενος καὶ ἁγι-
άσας τὰ ὕδατα· εὐλόγησον
πάντας ἡμᾶς τοὺς διὰ τῆς κλί-
σεως τοῦ ἑαυτῶν αὐχένος σημαί-
νοντας· τὸ τῆς δουλείας πρόσ-
χημα· καὶ καταξίωσον ἡμᾶς·
ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου· δι-
ὰ τῆς τοῦ ὕδατος τούτου μεταλή-
ψεως· καὶ γενέσθω ἡμῖν κ(ύρι)ε εἰς ὑγείαν
ψυχῆς καὶ σώματος· σὺ γὰρ εἶ ὁ ἁγιασ-
μὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμ(πομεν):

Εὐχ(ὴ) ἑτ(έρα) τῶν ἁγ(ίων) θεοφανίων:

Ὁ θ(εὸ)ς ὁ θ(εὸ)ς ἡμῶν· ὁ τὸ πικρὸν ὕδωρ
ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτη-
τα μεταποιήσας· καὶ τὰ ἁλμυρὰ
ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θερα-
πεύσας· καὶ τὰ Ἰορδάνια ῥεῖθρα
ἁγιάσας τῇ ἀχράντῳ σου ἐπιφανείᾳ
αὐτὸς καὶ νῦν δέσποτα ἁγίασον τὸ ὕδωρ
τοῦτο· καὶ δὸς αὐτὸ γενέσθαι πᾶσι τοῖς
χριομένοις· καὶ μεταλαμβάνουσιν

Ἐβ αὐτ(οὺς) εὐλογήσας πόσιν· ἰατρεῖον
παθῶν ἄλλας μὲν οἴχον· πάθους ἐ
πιμολης· σφραγῖς τε καὶ ἀσφα
λοῦς ἀλεξητήριον· ὅτι σὸν τὸ κρά
τος· καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δόξα:

Διακονικὰ εἰς μνήστρας:

Ἐν εἰρήνη τοῦ κ(υρίο)υ δεηθῶμεν:: Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης
Ὑπὲρ τοῦ δούλου τοῦ θ(εο)ῦ τοῦ δ(εῖνα): καὶ τῆς δούλης τοῦ
θ(εο)ῦ τῆς δ(εῖνα)· καὶ τῆς ἐν θ(ε)ῷ ἀγάπης καὶ τῆς
ἐν χ(ριστ)ῷ συνζεύξεως· καὶ εὐλογίας καὶ
σ(ωτη)ρίας αὐτοῦ τοῦ κ(υρίο)υ δεηθῶμεν: —
Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα αὐτῶν· δι
ὰ τῆς χάριτος τοῦ χ(ριστο)ῦ· τοῦ κ(υρίο)υ δεηθῶμεν: —
Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην
ὁμοφροσύνην καὶ καρπὸν παιδοποι
ΐας τοῦ κ(υρίο)υ δεηθῶμεν: — Ὑπὲρ τῶν νῦν μνησ
τευομένων ἀλλήλοις εἰς ἕνωσιν συζεύ
ξεως τοῦ κ(υρίο)υ δεηθῶμεν: — Ὑπὲρ τοῦ δοθῆναι αὐ
τοῖς δωρεὰν τοῦ ἀγάπης τοῦ κ(υρίο)υ δεηθῶμεν: —
Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτοὺς ἀπὸ πάσης θλίψεως:
Ἀντιλαβοῦ σῶσον ἐλέησον: Τῆς παναγίας ἀχράντου:

ὁ ἱερεὺς ἐπεύχεται λέγων·

Ὁ θ(εὸ)ς ὁ αἰώνιος· ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα· καὶ σύνδεσμον διαθέσεως τιθεὶς ἄρρηκτον· ὁ εὐλογήσας ἰσαὰκ καὶ ῥεβέκκαν· καὶ κληρονόμους αὐτοὺς τῆς σῆς ἐπαγγελίας ἀναδείξας· αὐτὸς εὐλόγησον καὶ τούτους τοὺς δούλους σου· ὁδηγῶν αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ:

κε Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θ(εὸ)ς ὑπάρ(χεις):

ὁ ἱερεύς· εἰρήνη π(ᾶσι): καὶ πά(λιν) εὐχ(ή):

Κ(ύρι)ε ὁ θ(εὸ)ς ἡμῶν ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος αὐτῷ ἐκκλησίαν παρθένον ἁγνήν· αὐτὸς εὐλόγησον τὰ μνῆστρα ταῦτα· καὶ ἕνωσον καὶ διαφύλαξον τοὺς δούλους σου ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ:— ἐκφώ(νως)

Σὺ γὰρ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκ(ύνησις):

Διάταξις τοὺς στεφανουμένου(ς)· ὁ δ(ιάκονος)· εὐχ(ή)· εὐ(λόγησον) δέσ(ποτα)· ὁ ἱερε(ύς)· Εὐλογημένη ἡ βασιλεία τοῦ π(ατ)ρ(ὸ)ς καὶ τοῦ υ(ἱο)ῦ καὶ τοῦ

καὶ λαμβάνει ὁ δ(ιάκονος) θυμιατὸν καὶ θυ-
μιᾷ πάντα· καὶ μετὰ τὸ θυμιάσαι λέγ(ει)·
Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν· Ὑπὲρ τῆς ἄνωθεν·
Ὑπὲρ τῆς εἰρήνης· Ὑπὲρ τοῦ ἐπισκόπου·
Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον
ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας· τοῦ κυρίου·
Ὑπὲρ τῶν νεονύμφων τούτων καὶ τῆς
ἐν Χριστῷ συζεύξεως αὐτῶν· τοῦ κυρίου δεηθῶμεν·
Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύ-
νην, ὁμοφροσύνην καὶ καρπὸν κοι-
λίας πρὸς τὸ συμφέρον· τοῦ κυρίου δεηθῶμεν·
Ὑπὲρ τῶν συναπτομένων πρὸς γάμου
κοινωνίαν καὶ συμβίωσιν αὐτῶν· τοῦ κυρίου·
Ὑπὲρ τοῦ δούλου τοῦ θεοῦ τοῦ δ(εῖνος) καὶ τῆς δούλης
τοῦ θεοῦ· τῆς δ(εῖνος) καὶ τῆς ἐν Χριστῷ ἀ[illegible]
σείας αὐτῶν· τοῦ κυρίου δεηθῶμεν·
Ὅπως Χριστὸς ὁ θεὸς ἡμῶν χαρίσεται αὐτοῖς τί-
μιον γάμον καὶ τὴν κοίτην ἀμίαντον· τοῦ κυρίου·
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς καὶ ὑπὸ πάντων τῶν πω-
χριζόντων· τοῦ· Ἀντιλαβοῦ· Τῆς παναγ(ίας)·
Ὁ ἱερεὺς εὔχεται ταύτην·
Ὁ θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ

ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας
γυναῖκα· καὶ συζεύξας αὐτῷ βοηθὸν
κατ' αὐτοῦ· διὰ τὸ οὕτως ἀρέσαι τῇ σῇ με
γαλειότητι· μὴ μόνον εἶναι τὸν ἄνθρωπον
ἐπὶ τῆς γῆς· αὐτὸς καὶ νῦν δέσποτα· ἐ
ξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κα
τοικητηρίου σου· καὶ ἅρμοσον τὸν
δοῦλόν σου τόνδε· καὶ τὴν δούλην σου τήνδε·
ὅτι παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυναι
κί· σύζευξον αὐτοὺς ἐν ἀγάπῃ καὶ ὁ
μοφροσύνῃ· στεφάνωσον αὐτοὺς ἐν εἰ
ρήνῃ· ἕνωσον αὐτοὺς εἰς σάρκα μί
αν· χάρισαι αὐτοῖς καρπὸν κοιλίας·
εὐτεκνίας ἀπόλαυσιν καὶ κατα
γήρασον διαφοτήν:— ἐκφ:

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασι:
ὁ λαός· ἀμήν· ὁ ἱερεὺς τὴν εὐχ:

Ὁ Θ(εὸ)ς καὶ πατὴρ τοῦ Κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· ὁ
τοῦ μυστικοῦ καὶ ἀχράντου γάμου
ἱερουργός· καὶ τοῦ σωματικοῦ νο
μοθέτης· ὁ τῆς ἱερᾶς καὶ ἀφθάρτου
νύμφης νυμφίος· καὶ τῶν ἐπελπι

δι᾽ νυμφευομένων νυμφοστόλος· ὁ τῆς ἀ-
φθαρσίας φύλαξ· καὶ τῆς βιωτικῆς
οἰκονομίας ἀγαθὸς οἰκονόμος αὐτός·
Καὶ νῦν δέσποτα ἐν ἀρχῇ ἔπλασας
τὸν ἄνθρωπον· ὡς βασιλέα καὶ δεσπότην
θέμενος αὐτὸν πάσης κτίσεως· καὶ
εἶπας· οὐκ ἀγαθὸν εἶναι τὸν ἄνθρωπον μό-
νον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν·
Καὶ λαβὼν μίαν τῶν πλευρῶν τοῦ ἀ-
δάμ· ἔπλασας τὴν γυναῖκα· καθὼς
ἀδὰμ καὶ εἶπεν· τοῦτο νῦν ὀστοῦν
ἐκ τῶν ὀστῶν μου· καὶ σὰρξ ἐκ τῆς σαρ-
κός μου· αὕτη κληθήσεται γυνή· ὅτι
ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη·
ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πα-
τέρα καὶ τὴν μητέρα αὐτοῦ· καὶ προσ-
κολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ
ἔσοντε οἱ δύο εἰς σάρκα μίαν· οὓς ὁ θεὸς
ἔζευξεν· ἄνθρωπος μὴ χωριζέτω· καὶ νῦν
δεόμεθά σου κύριε· στεφάνωσον αὐτούς·
χριστὲ ὁ θεὸς ἡμῶν ὡς ἐστεφάνωσας τὸν
οὐρανὸν τοῖς ἄστροις· στεφάνωσον αὐτούς

> κε ὁ θς ἡμῶν· ὡς ἐστεφανώσας τὴν τὴν
ποιῶσαν θέσιν+· στεφάνωσον αὐτοὺς κε
ὁ θς ἡμῶν· ὡς ἐστεφανώσας τὸ δόξε
χαριτώμενον στίφος τῶν μαρτήρων σου·
στεφάνωσον αὐτοὺς κε ὁ θς ἡμῶν ὡς ἐ
στεφανώσας· τὸν κύκλον τοῦ ἐνιαυτοῦ
εὐλόγησον αὐτοὺς κε ὁ θς ἡμῶν· ὡς εὐ
λόγησας ἀβραὰμ καὶ τὴν σάρραν·
εὐλόγησον αὐτοὺς κε ὁ θς ἡμῶν· ὡς εὐ
λόγησας ἰσαάκ καὶ ρεβέκκαν· εὐλόγη
σον αὐτοὺς κε ὁ θς ἡμῶν· ὡς εὐλόγησας
ἰακὼβ καὶ τὴν ραχὴλ· εὐλόγησον
αὐτοὺς κε ὁ θς ἡμῶν· ὡς εὐλόγησας ἰ
ωσὴφ καὶ τὴν ἀσινεθ· εὐλόγησον αὐ
τοὺς κε ὁ θς ἡμῶν· ὡς εὐλόγησας
μωυσῆν καὶ τὴν σεπφόραν· εὐλόγησον
αὐτοὺς κε ὁ θς ἡμῶν· ὡς εὐλόγησας ζα
χαρίαν καὶ τὴν ἐλισάβετ· καὶ ἐγέννη
σαν ἰω τὸν βαπτιστὴν τὸν λύχνον τοῦ
φωτός· εὐλόγησον αὐτοὺς κε ὁ θς ἡ
μῶν· ὡς εὐλόγησας ἰωακεὶμ καὶ
τὴν ἄνναν· καὶ ἐγέννησαν τὴν θ

αν θχον τὴν οὐράνιον πύλην· καὶ
ἐπίγειον ἐκκλησίαν· διαφύλα
ξον αὐτοὺς Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ διεφύλα
ξας τὸν Ἰωνᾶν ἐν τῇ κοιλίᾳ τοῦ κή
τους· διαφύλαξον αὐτοὺς Χριστὲ ὁ Θεὸς
ἡμῶν· ὁ διεφύλαξας τὸν Νῶε ἐν
τῇ κιβωτῷ· διαφύλαξον αὐτοὺς Χριστὲ
ὁ Θεὸς ἡμῶν· ὁ διεφύλαξας τοὺς τρεῖς
σου παῖδας ἐν τῇ καμίνῳ τοῦ πυρός·
καὶ κατέπεμψας αὐτοῖς δρόσον θεϊκ
πνο· διαφύλαξον αὐτοὺς Κύριε ὁ Θεὸς
ἡμῶν· ὁ διεφύλαξας Μωϋσῆν ἐν
τῇ θίβῃ· διαφύλαξον αὐτοὺς Χριστὲ ὁ Θεὸς
ἡμῶν· ὁ διεφύλαξας τὸν Δανιὴλ
ἐν τῷ λάκκῳ· διαφύλαξον αὐτοὺς
Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ διεφύλαξας τὸν
Δαβὶδ ἐν τῷ σπηλαίῳ· διαφύλαξον
αὐτοὺς Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ διεφύλα
ξας τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ· ἔλθοι
ἐπ' αὐτοὺς ἡ χάρις ἐκείνη· οἵαν χαρὰν
εὗρεν Ζαχαρίας· ὅπου τὴν σωτηρίαν τα
ρινὴλ· τοῦ ἀρχαγγέλου· ἔλθοι ἐπ' αὐ

τοῖς ἡ χάρισε χεῖμη· οἷαν χαρὰν εὑ-
ρεῖν ἡ μακαρία Ἑλένη· ὅτε εὗρεν τὸ
τίμιον ξύλον τοῦ σταυροῦ· ἐλθοῖεν
τοῖς ἡ χάρισε χεῖμη· οἷαν χαρὰν εὗρεν
ἡ φιλόθεος· ὅταν τὸ χαῖρε Γαβριὴλ
τοῦ ἀρχαγγέλου· μνημόνευσον αὐτοὺς
Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν· ὡς ἐμνημόνευσας Ἠ-
λίαν καὶ Ἐνώχ· μνημόνευσον αὐτοὺς
Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν· ὡς ἐμνημόνευσας Ἀβελ
τοῦ δικαίου· μνημόνευσον αὐτοὺς Χ(ριστ)ὲ
ὁ Θ(εὸ)ς ἡμῶν· ὡς ἐμνημόνευσας τοὺς τε-
σσαράκοντα μάρτυρας ἐν τῇ λίμνῃ·
καὶ κατέπεμψας αὐτοῖς στέφανα
οὐράνια· μνημόνευσον δὴ κ(ύρι)ε καὶ τῶν
ἀναθρεψάντων τὸν ναόν· ὅτι εὐχαῖς
τομέοαν τὴν ἔλζουσιν θεμέλια τῆς κμων·
στεφάνωσον αὐτοὺς ἐν τῇ χάριτί σου
Χ(ριστ)ὲ ὁ Θ(εὸ)ς ἡμῶν· δὸς αὐτοῖς φαιδρὴν καὶ χα-
τῆς κμίας· ἀμοιστερί φανον υἱόν
λαμπρότητα τεχῶν· καὶ ὑψωθῆναι
αὐτοὺς ὡς τὰς κέδρους τοῦ Λιβάνου·
καὶ ὡραιωθῆναι αὐτοὺς ὡς ῥόδα ἐν Ἱεριχῷ

Κατάθρεψον αὐτούς· ὡς ἄμπελον εὐκλη-
ματοῦσαν· τῇ δεινᾶ ἅμα τοῦ ἡλίου σου ὑμῆς·
δοθῆναι αὐτοῖς στάχυας σπέρματος
ἀρούρας· ἔμπλησον τὰ ταμεῖα αὐτῶν·
ἀπὸ τοῦ δρόσου τοῦ ουνου καὶ ἀπὸ
τῆς πιότητος τῆς γῆς· ἵνα ἀπαρτο-
τεσθῶσιν αὐτοί· χρείαν ἔχοντες· ἴδου-
σιν υἱοὺς τῶν υἱῶν αὐτῶν ὡς νεόφυτα
ἐλαίου· κύκλω τῆς τραπέζης αὐτῶν·
καὶ ἐκλάμψουσιν ὡς φωστῆρες τοῦ ουνου·
ἐν τῇ ἡμέρα τοῦ χυ ἡμῶν ιυ χυ :—
μεθ' οὗ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ
παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνι :—
Καὶ πάλιν εὔχεται ὁ ἱερεὺς λέγων:—
Θεὸς ὁ ἄχραντος· καὶ πάσης κτίσε-
ως δημιουργός· ὁ τὴν πλευρὰν
τοῦ προπάτορος Ἀδάμ· τῇ
σῇ φιλανθρωπίᾳ· εἰς γυναῖκα μετα-
μορφώσας καὶ εὐλογήσας εἰπών·
αὐξάνεσθαι καὶ πληθύνεσθαι· καὶ
πληρώσατε τὴν γῆν καὶ κατα-
κυριεύσατε αὐτῆς· καὶ ἀμφοτέρους

αὐτοὺς εἰς ἓν μέλος ἀναδείξας·
διὰ τῆς συζουγίας· ὁ τὸν θεράποντα
τά σου ἀβραὰμ σὺν τῇ σάρρα εὐ
λογήσας· καὶ πατέρα πλήθους ἐθνῶν
καὶ ἀναριθμήτου λαοῦ ποιήσας·
ὁ τὸν ἰσαὰκ τῇ ῥεβέκκᾳ καταχαρησάμενος·
καὶ τὸν τόκον αὐτῶν εὐλογήσας·
ὁ τῷ ἰακὼβ τῇ ῥαχὴλ συζεύξας·
καὶ τὸν τόκον αὐτῶν φυλάξας· ὁ
τὸν ἰωσὴφ τῇ ἀσενὲθ συζεύξας·
καὶ καρπὸν παιδοποιΐας αὐτῷ
χαρισάμενος· ὁ ἐκ τῆς ῥίζης ἰεσσαὶ
τὸ κατὰ σάρκα ἀναβλαστήσας· ὁ τὸν
ζαχαρίαν σὺν τῇ ἐλησάβετ· προσ
δεξάμενος καὶ πρόδρομον τὸν τό
κον αὐτῶν τῆς ἀρχῆς τοῦ σοῦ ἐν σαρ
κου οἰκονομίας ἀναδείξας· ὁ ἐν
μήτρα τῆς ἀπηρογάμου θ(εοτό)κου οἰκή
σας καὶ ἐξ αὐτῆς σαρκωθεὶς καὶ τε
χθεὶς εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων·
ὁ τῇ ἀφράστω σου δωρεᾷ καὶ πολλῇ
ἀγαθότητι παραγενόμενος ἐν κα

ναὶ τῆς γαλιλαίας καὶ τὸν ἐκεῖσε γά-
μον εὐλογήσας· ἵνα φανερώσῃς ὅ-
τι σὸν θέλημά ἐστιν ἡ ἔννομος συζυγία· καὶ
ἡ ἐξ αὐτῆς παιδοποιΐα· αὐτὸς καὶ
νῦν δέσποτα πανταναμάλε πρόσδε-
ξαι τὴν δέησιν ἡμῶν τῶν οἰκε-
τῶν σου· ὁ ἐκεῖσε καὶ ἐνταῦθα
παραγενόμενος· τῇ ἀοράτῳ σου
ἐπιστασίᾳ· εὐλόγησον καὶ νῦν δέσ-
ποτα τὸν γάμον τοῦτον· καὶ πα-
ράσχου τοῖς δούλοις σου τούτοις ζωὴν
εἰρηνικὴν μακροημέρευσιν σωφρο-
σύνην· τὴν εἰς ἀλλήλους ἀγάπην
τὸ σύνδεσμον τῆς εἰρήνης· σπέρ-
μα μακρόβιον· τὴν ἐπὶ τέκνοις
τύχην· τὸν ἀμαράντινον τῆς δό-
ξης στέφανον· ἀξίωσον αὐτοὺς ἰ-
δεῖν καὶ τέκνα τέκνων αὐτῶν· ἐμ-
πλῆσον αὐτοὺς ἀπὸ σίτου οἴνου
καὶ ἐλαίου· καὶ πάσης ἀγαθοσύνης·
δωρούμενος αὐτοῖς ἅμα καὶ τοῖς συμ-
παροῦσιν ἡμῖν πάντα τὰ πρὸς σωτη-

αμ αἰ τί μαται :- ἐκφ(ώνησις)

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπία :

Καὶ μετὰ τοῦ ἀμήν : λαμβάνει ὁ ἱερε(ὺς) τοὺς στεφάνους ἀπὸ τῆς ἁγ(ίας) τραπέζεις καὶ ἀπέρχεται πρ(ὸς) τοὺς νυμφίους λέγων :

